Ἐκ δισσῶν γονέων | ἀρετὴν βίου ἔσχον | ὁμοίαν ‖ εὐξάμε|νοί τε θεῷ ἔσχον | 5 με μόνον ἀγαπη|τὸν ‖ μητ̣ρ̣ῴαν | τ̣ε γ - - - | π̣ατρὸ̣[ς] - - - | της .... | μινα .... | θελισεο .... | κεῖμαι π - - | 15 - - [χρ]ησ[τι]|ανὸς νη̣ - - | πεντήκοντα | τῆς λεγεῶνος.

1240 Ibid. Stela marmorea. A. 0,95, l. 0,40—0,33, cr. 0,06. Forma litt. ϵ λ Μ C ω. Antea inaedificata in templo S. Iohannis παρὰ τὴν θέσιν Κουμπί Aedepsi. Ed. Papabasileiu Ἐφ. Ἀρχ. 1907, 15, 7. Exscripsi. *Ect.*

Ἐνθάδ' ἐγὼ
κεῖμαι Διογενι-
ανὸς Νεικομη-
δεύς, πολλῶν
φίλος πρότερον,
νῦν δὲ κατήλθον
ἰς Ἀΐδαο, πολλὰ πε-
ριπλεύσας πρότε-
ρον ναυκληρῶν,
εἶτα τὸ νῦν κυβερ-
νῶν παρήμην θερ-
μοῖς λουτρώσασ-
θαι Αἰδέψου. Ἡ δὲ
πικρὰ μοῖρα οὕτω
ἐμιτώσατο, θερμί-
ζειν με δι' ὁδοῦ. Καὶ
διὰ ταύτης μου τῆς
στήλλης μηνύω τοις
παροδείταις ζῶν
κτῶ χρῶ· τὸ γὰρ θα-
νεῖν πᾶσι κέκραται.

Sub litteris navis cum arbore et duobus remis.

1241 Ibid. Tabula marmoris albi. A. 0,34, l. 0,33, cr. 0,09. Inventa in pariete ecclesiae S. Constantini prope Lipso. Edd. Ulrichs *Reis. u. Forsch.* II 233 (Welcker *Rhein. Mus.* 1845, 238; Le Bas 1627; Kaibel Epigr. Gr. 269; Papabasileiu Ἐφ. Ἀρχ. 1905, 22). *Ect.*

ϵΝΘΑΔϵCΩΤΗΡΟΝ
ΧΑΙΡΩΝϵΑΧΑΛΚϵΟ
-ϵΧΝΗΝΑΙΔΗΨΟΥΔΑ
ΔΟΝΤΟΝΦΙΛΙΟΝΚΑ
ʹϵΙΑΝΤΙΔΙΑCΠΑΤΡΙ
ΑΡϵΤϵΙΝϵCϵΝϵΝΘΑ
....ϵΙΝΤΑΙCΙΛΑΡΑΙCΑΙ
..........-ΙΙΑΙCΙΝ

Ἐνθάδε Σώτηρον | Χαιρωνέα χαλκεο|τ̣έχνην
Αἰδηψοῦ δά|[πε]δον τὸν φίλιον κα|[τέ]χ̣ει·
ἀντ' ἰδίας πατρί|[δος] γ̣ὰρ ἐπείνεσεν ἐνθά|[δε ναί]ειν
ταῖς ἱλαραῖς αἰ|[εὶ -]ε̣ν̣αισιν̣ ⏑ –

ALIENA ET FALSA.

1242 *Carysti* in portu, in domo Evangeli Christi Chalacharis viderunt Legrand-Doublet qui ediderunt *Bull. Hell.* XV 1891, 407, 7.

ΑΡΓΕΙ/	\/ - - - -ιππον Στη̣[σίππου]
Κηφισιέα	Σ[ίμων] Διοπείθους
[Θ]ριάσιοι	Δημ[οκρ]άτης Δημοτίων[ος]
[Ἀγ]ασικλέης Ναυσικράτους	Θεοκλείδης Ἀρκέτου
[Δη]μέας Διογένους	Εὐκλῆς Ἀριστείδου
[Ὀ]ῆθεν	Θεόφιλος Ἐφιάμονος
[Ε]ὐφρόνιος Πολυκράτους	Ἱπποθέρσης Κλεάρχου
[Ν]ικίας Νικοστράτου	Κοθωκίδαι
[Χ]αρμείδης Μνησίνου	Νικόμαχος Φείδωνος
Κόπρειοι	Ἐλευσίνιοι
Πάμφιλος Ἀριστείδου	Κριτόβουλος Φιλοκύδου
[Ἀ]χαρνεῖς	Φυλάσιοι
[Ἀ]μφινομίδης Ἀμφινομίδου	Ἀρχέστρατος Καλλικράτους
- - - -ω[ν] Δημοτίωνος	[Τιμ]ο[σθέ]νης Τιμ[οσ]θ[ένο]υς.

Cives Athenienses secundum demos dispositi duos, ut videtur, viros, alterum Cephisiensem honorant annis fere 323—320 a. Chr.

Vs. 1 Ἀργ̣ειά[δην] Hiller. Nomina eorum, quibus dedicatio oblata erat, supra utramque columnam scripta fuisse videntur. || 4 huius pater est Ναυσικράτης Θριάσιος πρύτανις c. a. 360 v. PA II 112. || 5 huius filia videtur Αὐτονόη Δημέου Θριασίου θυγάτηρ IG II 2101. || 7 huius pater est Πολυκράτης Οἰῆθεν πρύτανις a. 360/9 IG II 868, filia fortasse Φαῖδρον Εὐφρονίου θυγάτηρ, Εὐρυμήδου Ὀῆθεν γυνή II 2373. || 8 idem in donario Aesculapii medio saec. IV II 1477. || 15 suppl. Wil. || 20 Kirchner confert Κάλλιππος Ἱπποθέρσου Ἀχαρνεύς II 5, 318 *b* ἐπιμελητὴς Διονυσίων a. 282/1 qui videtur huius filius esse. || 22 Νικόμαχος Φείδωνος qui deest Kirchnero, videtur nepos esse Nicomachi Acharnensis, quaestoris Minervae a. 385/4. II 667.

1243 Ibid. in marmore quadrato. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 528. 386.

[1] Θεοί· [2] Θεόδοτος Ξεινίδος εἶπεν· [3] ἐπειδὴ Αἰσχρίων Ἀγησιλά[4]ου Μιλήσιος ἀνὴρ ἀγαθός ἐ[5]στι περὶ τὸν δᾶμον τὸν Καρ[6]υστίων ἐπαινέσαι αὐτὸν κ[7]αὶ πρόξενον (*sic*) καὶ εὐεργέτην [8] καὶ αὐτὸν καὶ τοὺς ἐκγόν[9]ους· ἀναγράψαι δὲ καὶ ἐν στ[10]ήλῃ λιθίνῃ τὴν προξενί[11]αν καὶ στᾶσαι ἐν τῶι τοῦ Ἀπ[12]όλλωνος ἱερῶι καὶ εἶναι α[13]ὐτοῖς πρόσοδον πρὸς τὴν β[14]ουλὴν καὶ τὸν δᾶμον πρώτω[15]ι μετὰ τὰ ἱερά.

1244 Ibid. in marmore quadrato. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 528. 387.

[1] Θεοί· [2] Ἐπιγένης Νέωνος εἶπεν· ἐπειδὴ [3] Ξάνθιππος Γοργίππου Ὀδησσί-τ[4]ης ἀνὴρ ἀγαθός ἐστι περὶ τὸν δᾶ[5]μον τὸν Καρυστίων ἐπαινέσαι α[6]ὐτὸν καὶ εἶναι πρόξενον καὶ εὐ[7]εργέτην αὐτὸν καὶ τοὺς ἐκγόνο[8]υς· ἀναγράψαι δὲ καὶ ἐν στήλῃ λ[9]ιθίνῃ τὴν προξενίαν καὶ στᾶσ[10]αι ἐν τῶι τοῦ Ἀπόλ-λωνος ἱερῶι κ[11]αὶ εἶναι αὐτοῖς πρόσοδον πρὸς [12] τὴν βουλὴν καὶ τὸν δᾶμον πρώτω[13]ι μετὰ τὰ ἱερά.

1245 Ibid. in marmore quadrato. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 529. 388.

[1] Θεοί· [2] Ἐράτων Λύσωνος εἶπεν· ἐπειδὴ [3] Νικάνωρ Νικάνορος Ἄνδριος ἀ[4]νὴρ ἀγαθός ἐστι περὶ τὸν δᾶμο[5]ν τὸν Καρυστίων ἐπαινέσαι αὐ[6]τὸν καὶ εἶναι πρόξενον καὶ εὐ[7]εργέτην αὐτὸν καὶ τοὺς ἐκγόν[8]ους· ἀναγράψαι δὲ καὶ ἐν στήλῃ[9]ι λιθίνῃ τὴν προξενίαν καὶ σ[10]τᾶσαι ἐν τῶι τοῦ Ἀπόλλωνος ἱε[11]ρῶι καὶ εἶναι αὐτοῖς πρόσοδο[12]ν πρὸς τὴν βουλὴν καὶ τὸν δᾶμο[13]ν πρώτωι μετὰ τὰ ἱερά.

Nomen Νικάνωρ Νικάνορος sumpsit falsarius e titulo Andrio XII 5, 733, 2.

1246 Ibid. in marmore quadrato. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 530. 389.

[1] Θεοί· [2] Κλεόδωρος Κλεοδώρου εἶπεν· [3] ἐπειδὴ Φίλων Ἀθηνίωνος Ἀθη[4]ναῖος ἀνὴρ ἀγαθός ἐστι περὶ [5] τὸν δᾶμον τὸν Καρυστίων ἀγα[6]θᾶι τύχῃ ἐπαινέσαι αὐτὸν κ[7]αὶ εἶναι αὐτὸν πρόξενον καὶ [8] εὐεργέτην αὐτὸν καὶ τοὺς ἐκ[9]γόνους· ἀναγράψαι δὲ καὶ τὴν [10] προξενίαν ἐν στήλῃ λιθίνη[11]ι καὶ στᾶσαι ἐν τῶι τοῦ Ἀπόλλ[12]ωνος ἱερῶι καὶ εἶναι αὐτοῖς [13] πρόσοδον πρὸς τὴν βουλὴν κα[14]ὶ τὸν δᾶμον πρώτωι μετὰ τὰ ἱε[15]ρά.

1247 Ibid. in fragmento marmoris quadrati. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 530. 390.

[1] Θεοί· [2] Ἐχεκράτης Κρατησιλάου εἶπεν· [3] ἐπειδὴ Φερεκράτης Φερεμάχου [4] Σύριος ἀνὴρ ἀγαθός ἐστι περὶ τ[5]ὸν δᾶμον τῶν Καρυστίων ἐπαινέ[6]σαι αὐτὸν καὶ εἶναι αὐτὸν πρόξ . . ον κ . . . . . ργέτην α . . . .

1248 Ibid. in marmore mutilo. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 531. 391.

Ι	1·
ΙΠΕΝΕΠΕΙΔΗ	ἶπεν· ἐπειδὴ
ΑΞΙΟΣΑΝΗΡΑ	ἄξιος ἀνὴρ ἀ
ΟΝΔΗΜΟΝΤΟΝ	ον δᾶμον τὸν
ΕΣΑΙΑΥΤΟΝΚ	έσαι αὐτὸν κ
ΟΞΕΝΟΝΚΑΙΕ	όξενον καὶ ε
ΑΙΤΟΥΣΕΚΓΟ	αι τοὺς ἐκγό
ΕΚΑΙΕΝΣΤΗΛ	ε καὶ ἐν στήλ
ΟΞΕΝΙΑΝΚΑΙ	οξενίαν καὶ
ΑΠΟΛΛΩΝΟΣΙ	Ἀπόλλωνος ι
ΤΟΙΣΠΡΟΣΟΔ	τοῖς προσοδ
ΝΚΑΙΤΟΝΔΗΜ	ν καὶ τὸν δᾶμ
ΙΕΡΑ	ιερα

1249 Ibid. in marmore mutilo. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 531. 392.

μον τὸν Καρυστίων ἀγα
χηι ἐπαινέσαι αὐτὸν κ
αι αὐτὸν πρόξενον καὶ
ετην αὐτὸν καὶ τοὺς ἐκ
ς· ἀναγράψαι δὲ καὶ ἐν ς
λιθίνηι τὴν προξενία
τῆσαι ἐν τῶι τοῦ Ἀπόλλ
ερωι καὶ εἶναι αὐτ
. . . . ρος . . νβ . . λ . . .
. . . . . ρω . . . . ε . α . .

Hoc dilucide ita finxit, quasi margo dextra servata esset.

1250 Ibid. in marmore mutilo. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1886, 532. 393.

Γ Ε Τ Η Ν Α Υ Τ Ο Ν //////// Ι Τ Ο Υ //////// Γ Ο Ν Ο Υ Σ
//////// Γ Ρ Α Ψ Α Ι //////// Ι Τ //////// Ξ Ε Ν Ι ////////
//////// Τ Η Λ Η Ι //////// Ν Η //////// Τ Η Σ ////////
//////// Ι Τ Ο Υ //////// Ω //////// Ω Ι ////////
//////// Α Υ Τ Ο //////// Ο Σ //////// Ρ Ο ////////
//////// Β //////// Ι Ν Κ //////// Η //////// Γ //////// Τ ////////
//////// Α Τ //////// Ρ ////////

1251 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 532. 394.

[1]Ἀνθέμων [2]χρηστὲ [3]χαῖρε.

1252 Ibid. intra domum privatam. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866. 532. 395.

[1]Παρηγόριε [2]χρηστὲ [3]χαῖρε.

1253 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 533. 396.

[1]Κτησία [2]χρηστή (sic!).

1254 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 533. 397.

[1]Μενάνδρα [2]χρηστὴ [3]χαῖρε.

1255 Prope *Carystum* intra parvam ecclesiam τοῦ Σωτῆρος, in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 533. 398.

[1]Δράκων [2]Κρίτωνος.

1256 Ibid. intra parvam ecclesiam τοῦ Σωτῆρος, in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 533. 399.

[1]Ἐλπὶς Δράκωνος [2]γυνή.

1257 *Carysti* in fastigio stelae marmoreae. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 527. 385.

Θεοῖς.

1258 *Geraesti* (cf. Farnell *Cults of the Greek States* II 568. 41 *g*). Prokopios *Bell. Goth.* IV 22, 27; Preger Inscr. Gr. metr. 86.

Τοῦτον δὲ τὸν τρόπον ἐκ λίθων πολλῶν καὶ ἡ ναῦς ἐκείνη πεποίηται, ἣν Ἀγαμέμνων ὁ τοῦ Ἀτρέως τῆς Εὐβοίας ἐν Γεραιστῷ ἀνέθηκε τῇ Ἀρτέμιδι, ἀφοσιούμενος κἀν τούτῳ τὴν ἐς αὐτὴν ὕβριν . . . ἃ δὴ γράμματα ἐν πλοίῳ τούτῳ ἢ τηνικάδε ἢ ὕστερον ξυσθέντα δηλοῖ ἐν ἑξαμέτρῳ. ὧν τὰ μὲν πλεῖστα ἐξίτηλα χρόνῳ τῷ μακρῷ γέγονε, τὰ δὲ πρῶτα καὶ ἐς τόδε διαφαίνεται λέγοντα ὧδε

Νῆα μὲ λαϊνέην ἱδρύσατο τῇδ' Ἀγαμέμνων,
Ἑλλήνων στρατιῆς σῆμα πλοϊζομένης.

Καὶ ἐν ἀρχῇ ἔχει·

Τύννιχος ἐποίει Ἀρτέμιδι Βολοσίᾳ·

οὕτω γὰρ τὴν Εἰλείθυιαν ἐν τοῖς ἄνω χρόνοις ἐκάλουν, ἐπεὶ καὶ βολὰς τὰς ὠδῖνας ὠνόμαζον.

1259 *Scalae Aliveri.* Stela marmoris albi fastigio superata. A. 0,54 (pars inscripta 0,38), l. 0,41, cr. 0,08. Litt. a. 0,009 valde detritae, saec. III med. Quam vidit Wilhelm 1890 Βάθυ in domo Dem. Stergii, ego 1908 Scalae Aliveri in domo Pantelis Rembelis. Ed. Wilhelm Ἐφ. ἀρχ. 1892, 147, 35 et *Beitr.* 53, 42. 308 (Kirchner IG II² 1286). Contuli. *Ert.*

Ἀγαθῆι τύχηι· ἔδοξεν τοῖς στρατιώται[ς]
τοῖς τεταγμένοις ὑπ[ὸ Τ]ιμ[ο]κράτην· Ἀργα[ῖ]-
ος Κλέω[νος Κρὴς εἶ]πεν· ἐπειδὴ Θούκριτος πρό-
τερόν τε [χειροτονηθεὶς] ὑπὸ τοῦ δήμου στρατ[η]-
γὸς [ἐπὶ Κλεομάχου καὶ Καλλιμήδο]υ ἄρχοντος κα[ὶ]
[πάλιν ἐπὶ Θερσιλόχου ἄρχοντ]ος διατετέλε-
[κεν ἀνὴρ ἀγαθὸς ὢν καὶ εὔνους το]ῖς στρατιώτα[ις]
[καὶ κοινῆι καὶ ἰδίαι χρείας παρεχόμ]ενος εἰς
[ὃ ἄν τις αὐτὸν παρακαλῆι· ὅπως οὖν φ]ανεροὶ γίνω[ν]-
[ται οἱ στρατιῶται εἰδότες ἀποδιδόναι] τὰς χάρι-
[τας ἀξίας τῶν εὐεργετημάτων· ἀγ]αθῆι τύχη[ι]
[δεδόχθαι τοῖς στρατιώταις ἐπαιν]έ[σα]ι Θούκριτ[ον]
[Ἀλκιμάχου Μυρρινούσιον καὶ στεφαν]ῶσ[αι] χρυσ[ῶι]
[στεφάνωι κατὰ τὸν νόμον ἀρετῆς ἕνεκα κα]ὶ εὐ[νοί]-
[ας τῆς - - - - - - - - - - - - -]σα
- - - - - - - - - - - - - - ιβουλ
- - - - - - - - - - - - - - στη
- - - - - - - - - - - - - - ταιδε
[- - - - - - - - - - ἑλέσ]θαι δὲ τρεῖς ἄ[ν-
[δρας αὐτίκα μάλα οἵτινες ἐπιμελήσ]ονται τῆς ἀναθέσ[ε]-
[ως - - - - - - - - - - -] τὸ δὲ ἀνάλωμα τ[ὸ]
[εἰς - - λ]ο[γ]ίσ[ασθ]αι - - τοῖς στρατιώταις
[Οἵδε ἀνέθεσαν - -] τα[ῖ]ος Κρὴς . . . . . νδρος Κρής, Θεοφ
[- - - - - - - - - - Ε]ὐωνυμεύς, Ξενόφιλο[ς]
[- - - - - - - - - - Κο]ρίνθιος, Ἀργαῖος Κρ[ής]
- - - - - - - - - - - - - - αζοι - - - -

Pleraque suppl. Wilh. qui Thucritum eundem putat esse atque Θούκριτον Ἀλκιμάχου Μυρρινούσιον στρατηγὸν ἐπὶ τὴν χώραν τὴν παραλίαν IG II 1194 256/5, 246/5, 244/3 cf. *Ath. Mitt.* XXXII 470 atque lapidem Rhamnunte Βάθυ translatum esse. Decretum est militum mercennariorum in honorem ducis factum.

1260 *Kumi.* Stela marmoris albi. A. 0,31, l. 0,48. Inaedificata in fronte domus Ἀθ. Ἰ. Οἰκονόμου. Anaglypho ornata, ad sinistram ara cum igne ardente, prope eam Bacchus dextra e cantharo permagno libans panthera adsidente, ad dextram cista, e qua anguines conspiciuntur, post cistam Silenus parvus. Exscripsimus C. Mueller et ego. *Ect.*

_ΠΙΙΕΡΟΜΝΑΜΟΝΟΣΑΔΡΙΑΝΟΥΚΑΙΣΑΡΟΣΤΟΒΠΛΑ
ΔΙΟΝ//ΣΟΓΟΛΕΙΤΩΝΟΥΟΛΟΣΕΙΛΚΛΑΥΔΙΑΝΗΓΥΝΗ

ἐπὶ ἱερομνάμονος Ἀδριανοῦ Καίσαρος τὸ β' πλα(?) - -
Διον[υ]σοπολειτῶν Οὐολοσεία Κλαυδιανὴ γυνὴ
- - - - -

Vs. 1 extr. ect. litterae ΠΛΑ in ectypo non dispiciuntur. || 2 in. legerunt Wil. et Hiller. || Volusia. || Lapis Dionysopoli e Thracica urbe advectus.

1261 *Eretriae* in marmore mutilo. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 533. 400.

[1]Ὁ ἱερεὺς τοῦ Διονύσου Θεόπομπος [2]Θεοφίλου καὶ οἱ πολέμαρχοι Κλεα[3]γόρας Κλεανδρίδου Μένων Μενιππ- -.

Hunc e titulo CIG 2144, supra n. 192, fictum esse recte iudicat Wilhelm Ἐφ. Ἀρχ. 1892, 138, 1.

1262 *Athenis* in domo medici Patricii '*stammt aber wohl aus deren Landgut in der Nähe von Eretria.*' Ed. Baur Philol. 8 Suppl. 1899—1901, 492 (*Eileithyia. University of Missouri studies* I 4, 1902, 61); Wilhelm *Beitr.* 91, qui titulum Atticum esse confirmat (Weinreich *Ath. Mitt.* XXXVII 1912, 8, 22).

[1]Καλλιστράτη [2]Ἀρτέμιδι Κολε[3]νίδι ἐπηκόῳ [4]εὐχήν.

1263 Fragmentum legis sacrae, inventum a. 1902 *Chalcide*, editum a Papabasileiu Ἐφ. Ἀρχ. 1902, 29 sq. inter titulos Chalcidenses, Atticae vindicatum a Wilhelmo ibid. 1902, 135—142, defensum a Papabasileiu ibid. 1903, 127 sq., cf. 1905, 27, cui respondit Wilhelm ibid. 1904, 103 sq., receptum inter titulos Atticos a Ziehen Leges Graec. sacrae II 1, 10. Denuo editum cum novis supplementis ut Atticum a Svorono, Ἡ ἐκ Χαλκίδος ἐπιγραφὴ ἱερὸς νόμος Κολωνιτῶν Διεθν. Ἐφημ. τῆς Νομισματ. Ἀρχ. 1910, 122 sq. et a Papabasileiu ipso Ἀρχ. Ἐφ. 1911, 85 sq. Defensor originis Chalcidensis unus Papabasileiu assensus est Farnell *Class. Rev.* 1906, 30.

1264 Pactum inter Cnidios et Romanos *Chalcide* inventum in scala cellae iuxta forum, sed nescio unde transvectum. Ed. Matsas Ἀθηνᾶ XI 283 sq., cf. Wilhelm *Beitr.* 124; Täubler *Imperium Romanum* I 1913, 450 sq. ectypo a me confecto usus; Jardé *Un traité entre Cnide et Rome Mélanges Cagnat* 1912, 51—58 (cf. Wilhelm *Berl. phil. Wochenschr.* 1914, 894.

1265 *Chalcide* intra domum privatam. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866. 526. 379.

[1]Ἀριστομένης [2]Κλεαρίστου [3]Ἀπόλλωνι.

1266 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866. 526. 380.

[1]Χαρῖνε [2]χρηστὲ [3]χαῖρε.

1267 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 527. 381.

[1]Πύρρε [2]χαῖρε.

1268 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 527. 382.

[1]Νίκων Νικάνδρου [2]χρηστὲ χαῖρε.

1269 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 527. 383.

[1]Ἀρτεμιδώρα [2]Ἀρτέμωνος [3]χρηστὴ χαῖρε.

1270 Ibid. in stela marmorea. 'Descripsi a. 1863.' Ed. Lenormant *Rhein. Mus.* XXI 1866, 527. 384.

[1]Νικομάχη [2]Κεφάλου.

1271 *Steni.* In loco στοὺς Ἁγίους (cf. tit. n. 1172) in ipso saxo a dextra adeuntis supra aquam Papabasileiu legit 'μετὰ πολλῆς δυσκολίας διότι ὁ λίθος κατέστη τραχύτατος'. Πρακτικά 73, 1909, 206.

Α Π Ο Ι Ι
Ο

Nihil vidimus Mueller et ego.

1272 *Limni.* Stela in aula quadam ad puteum. A. 0,71, l. 0,52. Larymna advecta. Exscripsi.

Σ Ω Σ Ι Κ Ρ Α Τ Η Σ Π Α Ρ Α Μ Ο Ν Ο Υ
Χ Α Ι Ρ Ε

Σωσικράτης Παραμόνου
χαῖρε.

TESTIMONIA ET NOTAE.

I. DE EVBOEAE VNIVERSAE REBVS.

Auctores qui de Euboea (Εὐβοϊκά) scripserunt cf. v. Wilamowitz *Ant. v. Kar.* 135, *Arist. u. Ath.* II 21. — Dionysius Chalcidensis ὁ τὰς κτίσεις γράψας saec. IV, cf. Schwartz *Realenc.* V 1, 929, 107; FHG IV 393—396. — Aristoteles Chalcidensis saec. IV? FHG II 142 Harpocr. s. v. Ἄργουρα Schol. Ap. Rhod. I 558 ὁ τὰ περὶ Εὐβοίας πεπραγματευμένος, cf. Schwartz *Realenc.* II 1012, 14. — Archemachus saec. III Εὐβοϊκά FHG IV 314—316, cf. Schwartz *Realenc.* II 456, 4.

1. *B* 536 sq.:

Οἳ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες, Χαλκίδα τ' Εἰρέτριάν τε πολυστάφυλόν θ' Ἱστίαιαν Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον, οἵ τε Κάρυστον ἔχον ἠδ' οἳ Στύρα ναιετάασκον, τῶν αὖθ' ἡγεμόνευ' Ἐλεφήνωρ, ὄζος Ἄρηος, Χαλκωδοντιάδης, μεγαθύμων ἀρχὸς Ἀβάντων.

2. Strab. p. 444—448:

(2) Παραμήκης μὲν τοίνυν ἐστὶν ἡ νῆσος ἐπὶ χιλίους σχεδόν τι καὶ διακοσίους σταδίους ἀπὸ Κηναίου πρὸς Γεραιστόν, τὸ δὲ πλάτος ἀνώμαλος, κατὰ δὲ τὸ πλέον ὅσον πεντήκοντα καὶ ἑκατὸν σταδίων. τὸ μὲν οὖν Κήναιον ἔστι κατὰ Θερμοπύλας καὶ τὰ ἔξω Θερμοπυλῶν ἐπ' ὀλίγον, Γεραιστὸς δὲ καὶ Πεταλία[1]) πρὸς Σουνίῳ[2]). γίνεται οὖν ἀντίπορθμος τῇ τε Ἀττικῇ καὶ Βοιωτίᾳ καὶ Λοκρίδι καὶ τοῖς Μαλιεῦσι. διὰ δὲ τὴν στενότητα καὶ τὸ λεχθὲν μῆκος ὑπὸ τῶν παλαιῶν Μάκρις[3]) ὠνομάσθη. | p. 445 | συνάπτει δὲ τῇ ἠπείρῳ κατὰ Χαλκίδα μάλιστα, κυρτὴ προπίπτουσα πρὸς τοὺς κατὰ τὴν Αὐλίδα τόπους τῆς Βοιωτίας καὶ ποιοῦσα τὸν Εὔριπον, περὶ οὗ διὰ πλειόνων εἰρήκαμεν (cf. p. 400. 403 et infra p. 144, 34) - - - καὶ πρῶτον ὅτι τῆς Εὐβοίας τὰ κοῖλα[4]) λέγουσι τὰ μεταξὺ Αὐλίδος καὶ τῶν περὶ Γεραιστὸν τόπων· κολποῦται γὰρ ἡ παραλία, πλησιάζουσα δὲ τῇ Χαλκίδι κυρτοῦται πάλιν πρὸς τὴν ἤπειρον. (3) Οὐ μόνον δὲ Μάκρις ἐκλήθη ἡ νῆσος, ἀλλὰ καὶ Ἀβαντίς[5]). Εὔβοιαν γοῦν εἰπὼν ὁ ποιητὴς τοὺς ἀπ' αὐτῆς Εὐβοέας οὐδέποτε εἴρηκεν, ἀλλ' Ἄβαντας ἀεί 'οἳ δ' Εὔβοιαν ἔχον μένεα πνείοντες Ἄβαντες', 'τῷ δ' ἅμ' Ἄβαντες ἕποντο'. φησὶ δ' Ἀριστοτέλης (fr. 559) ἐξ Ἄβας τῆς Φωκικῆς Θρᾷκας ὁρμηθέντας ἐποικῆσαι τὴν νῆσον καὶ ἐπονομάσαι Ἄβαντας τοὺς ἔχοντας αὐτήν· οἱ δ' ἀπὸ ἥρωός φασι, καθάπερ καὶ Εὔβοιαν ἀπὸ ἡρωίνης[1])· τάχα δὲ ὥσπερ βοὸς αὐλὴ λέγεταί τι ἄντρον[2]) ἐν τῇ πρὸς [τὸν] Αἰγαῖον τετραμμένῃ παραλίᾳ, ὅπου τὴν Ἰώ φασι τεκεῖν Ἔπαφον, καὶ ἡ νῆσος ἀπὸ τῆς αὐτῆς αἰτίας ἔσχε τοῦτο τοὔνομα. καὶ Ὄχη δὲ ἐκαλεῖτο ἡ νῆσος, καὶ ἔστιν ὁμώνυμον αὐτῇ τὸ μέγιστον τῶν ἐνταῦθα ὀρῶν. καὶ Ἐλλοπία δ' ὠνομάσθη ἀπὸ Ἔλλοπος[3]) τοῦ Ἴωνος· οἱ δὲ Αἴκλου καὶ Κόθου ἀδελφόν φασιν, ὃς καὶ τὴν Ἐλλοπίαν κτίσαι λέγεται, χωρίον ἐν τῇ Ι. Ὠρείᾳ καλουμένῃ τῆς Ἱστιαιώτιδος πρὸς τῷ Τελεθρίῳ[4]) ὄρει, καὶ τὴν Ἱστίαιαν προσκτήσασθαι καὶ τὴν Πεδιάδα καὶ Κήρινθον καὶ Αἰδηψὸν καὶ Ὀροβίας, ἐν ᾧ μαντεῖον ἦν ἀψευδέστατον· ἦν δὲ μαντεῖον τοῦ Σελινουντίου Ἀπόλλωνος· μετῴκησαν δ' εἰς τὴν Ἱστίαιαν οἱ Ἐλλοπιεῖς[5]) καὶ ηὔξησαν τὴν πόλιν Φιλιστίδου τοῦ τυράννου βιασαμένου μετὰ τὰ Λευκτρικά. Δημοσθένης δ' ὑπὸ Φιλίππου κατασταθῆναι τύραννόν φησι καὶ τῶν Ὠρειτῶν τὸν Φιλιστίδην· οὕτω γὰρ ὠνομάσθησαν ὕστερον οἱ Ἱστιαιεῖς καὶ ἡ πόλις ἀντὶ Ἱστιαίας Ὠρεός· ἔνιοι δ' ὑπ' Ἀθηναίων ἀποικισθῆναί φασι τὴν Ἱστίαιαν ἀπὸ τοῦ δήμου τοῦ Ἱστιαιέων, ὡς καὶ ἀπὸ τοῦ Ἐρετριέων τὴν Ἐρέτριαν. Θεόπομπος δέ φησι (fr. 164 Meyer) Περικλέους χειρουμένου Εὔβοιαν τοὺς Ἱστιαιεῖς καθ' ὁμολογίας εἰς Μακεδονίαν μεταστῆναι, δισχιλίους δ' ἐξ Ἀθηναίων ἐλθόντας τὸν Ὠρεὸν οἰκῆσαι, δῆμον ὄντα πρότερον τῶν Ἱστιαιέων (4) κεῖται δ' ὑπὸ τῷ Τελεθρίῳ ὄρει ἐν τῷ Δρυμῷ καλου | p. 446 | μένῳ παρὰ τὸν Κάλλαντα ποταμὸν ἐπὶ πέτρας ὑψηλῆς, ὥστε τάχα καὶ διὰ τὸ τοὺς Ἐλλοπιεῖς ὀρείους εἶναι τοὺς προοικήσαντας ἐτέθη τοὔνομα τοῦτο τῇ πόλει· δοκεῖ δὲ καὶ ὁ Ὠρίων ἐνταῦθα τραφεὶς οὕτως ὀνομασθῆναι[6])· ἔνιοι δὲ τοὺς Ὠρείτας, πόλιν ἔχοντας ἰδίαν, φασὶ πολεμουμένους ὑπὸ τῶν Ἐλλοπιέων μεταβῆναι καὶ συνοικῆσαι τοῖς Ἱστιαιεῦσι, μίαν δὲ γενηθεῖσαν πόλιν ἀμφοτέροις χρήσασθαι τοῖς ὀνόμασι, καθάπερ Λακεδαίμων τε καὶ Σπάρτη ἡ αὐτή. εἴρηται δ' ὅτι καὶ ἐν Θετταλίᾳ Ἱστιαιῶτις ἀπὸ τῶν ἀνασπασθέντων ἐνθένδε ὑπὸ Περραιβῶν ὠνόμασται[7]). - - (5) ἔστι δ' ἐν τῷ Ὠρεῷ τούτῳ τό τε Κήναιον καὶ ἐπ' αὐτῷ τὸ Δῖον καὶ Ἀθῆναι αἱ Διάδες, κτίσμα Ἀθηναίων, ὑπερκείμενον τοῦ ἐπὶ Κῦνον πορθμοῦ· ἐκ δὲ τοῦ Δίου Κάναι τῆς Αἰολίδος ἀπῳκίσθησαν· ταῦτά τε δὴ τὰ χωρία περὶ τὴν Ἱστίαιάν ἐστι καὶ ἔτι Κήρινθος πολίδιον ἐπὶ τῇ θαλάττῃ· ἐγγὺς δὲ Βούδορος ποταμὸς ὁμώνυμος τῷ κατὰ τὴν Σαλαμῖνα ὄρει τῷ πρὸς τῇ

---

1) De insulis Petaliis cf. Geyer *Topogr.* I 107/8.

2) Cf. Strab. p. 399 μετὰ δὲ τὴν Ἑλένην ἡ Εὔβοια πρόκειται τῆς ἑξῆς παραλίας, ὁμοίως στενὴ καὶ μακρὰ καὶ κατὰ μῆκος τῇ ἠπείρῳ παραβεβλημένη καθάπερ ἡ Ἑλένη. ἔστι δ' ἀπὸ τοῦ Σουνίου πρὸς τὸ νότιον τῆς Εὐβοίας ἄκρον, ὃ καλοῦσι Λευκὴν ἀκτήν, σταδίων τριακοσίων πλοῦς· ἀλλὰ περὶ Εὐβοίας μὲ[ν λέξομεν ὕστερον].

3) Cf. Steph. Byz. s. v. Εὔβοια, νῆσος μία τῶν ἑπτά, παραμήκης, ἢ καὶ Μάκρις. ἀπὸ Εὐβοίας. Ἡρόδοτος (V 31) . . . τὸ ἐθνικὸν τῆς νήσου Εὐβοιεύς, καὶ Εὐβοιίς τὸ θηλυκόν. καὶ Εὐβοεὺς χωρὶς τοῦ ῑ . . ἔστι καὶ Εὐβοϊκός κτητικόν. Cf. Etym. Magn. 389, 6 Gaisf. Τὸ ἐθνικόν, Εὐβοεύς, καθ' ὑφαίρεσιν τοῦ ῑ - - - οἱ δὲ λέγοντες τὸ Εὐβοεῖς καὶ Φωκαεῖς σὺν τῷ ι ἁμαρτάνουσι. De titulis cf. Indicem. — Steph. Byz. s. v. Μάκρις, ἡ Εὔβοια οἱ οἰκοῦντες Μάκρωνες. ὁ οἰκήτωρ Μακριεύς καὶ Μακρηίς. Schol. Ap. Rhod. IV 1175 ἡ δὲ Εὔβοια Μάκρις ἐκαλεῖτο τὸ πρότερον. ταύτην οἱ κατοικοῦντες μετὰ Ἰλίου ἅλωσιν οἱ μὲν Ἄβαντες - - Ἀβαντίνην ᾤκησαν. Schol. Ap. Rhod. II 392. ὑπεράνω δὲ τῶν Φιλύρων καὶ ἔμπροσθεν εἰσὶν οἱ Μάκρωνες, ἔθνος Σκυθικόν. ἄποικον τῶν Εὐβοέων· ἡ γὰρ Εὔβοια καὶ Μάκρις ἐκαλεῖτο διὰ τὴν θέσιν. Schol. Ap. Rhod. IV 1138 ἡ Ἥρα τὴν Μάκριν τῆς Εὐβοίας ἐξέβαλε διὰ τὸ δέξασθαι παρὰ τοῦ Ἑρμοῦ τὸν Διόνυσον καὶ θρέψαι· ἡ δὲ Εὔβοια ἱερά ἐστι τῇ Ἥρᾳ. Schol. Ap. Rhod. I 1024 Μακριέων: τῶν καλουμένων Μακρώνων, οἵ εἰσιν ἄποικοι τῶν Εὐβοέων, ἀφ' οὗ καὶ Μάκρωνες ἐκλήθησαν. καὶ Μάκρις γὰρ ἡ Εὔβοια ἐκαλεῖτο Διονύσιος δὲ ὁ Χαλκιδεὺς εἰρῆσθαί φησιν αὐτοὺς Μάκρωνας, ἐπειδὴ Εὐβοέων εἰσὶν ἄποικοι.

4) De notione ambigua κοῖλα τῆς Εὐβοίας cf. locos apud Geyer *Topogr.* I 7 sq.

5) Cf. Herod. I 104 Lentz apud Steph. Byz. s. v. Ἀβαντίς, ἡ Εὔβοια, ὡς Ἡσίοδος (fr. 3 Rz.) ἐν Αἰγιμίου β' περὶ Ἰοῦς 'νήσῳ ἐν Ἀβαντίδι δίῃ | τὴν πρὶν Ἀβαντίδα κίκλησκον θεοὶ αἰὲν ἐόντες, | τὴν τότ' ἐπώνυμον Εὔβοιαν βοὸς ὠνόμασεν Ζεύς.' ἐκλήθη δὲ ἀπὸ Ἄβαντος τοῦ Ἀργείου ἢ τοῦ υἱοῦ Ποσειδῶνος καὶ Ἀρεθούσης, ὡς Ἀριστοκράτης - - cf. Hygin. fab. 157.

---

1) De nominibus insulae egit Bursian *Quaest. Eub.* 3 sq. Strab. p. 447 ὑπὸ τοιοῦδε πάθους καὶ ἡ ὁμώνυμος τῇ νήσῳ πόλις καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ Ποντίῳ Γλαύκῳ 'Εὐβοΐδα καμπτὴν ἀμφὶ Κηναίου Διὸς ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα'.

2) De hoc antro cf. Bursian *Quaest. Eub.* 3 sq.

3) Cf. Steph. Byz. s. v. Ἐλλοπία, χωρίον Εὐβοίας, καὶ αὐτὴ ἡ νῆσος, ἀπὸ Ἔλλοπος τοῦ Ἴωνος. τὸ ἐθνικὸν Ἐλλοπιεύς.

4) Cf. Steph. Byz. s. v. Τελέθριον, ὄρος τῆς ἐν Εὐβοίᾳ Οἰχαλίας (Ἐλλοπίας Meineke)· Στράβων δεκάτῃ. οἱ οἰκήτορες Τελεθριεῖς ὡς Σουνιεῖς. De aliis montibus cf. Schol. Lyc. 374/5 Τρύχατα καὶ Νέδων καὶ Διρφωσσὸς ὄρη Εὐβοίας εἰσί· τὸν δὲ Διρφωσσὸν ὁ Εὐφορίων Δίρφυν καλεῖ· 'Δίρφυν ἀνὰ τρηχεῖαν ὑπ' Εὐβοίᾳ κεκόνιστο.' καὶ Διάκρια δὲ ὄρη Εὐβοίας, ὅτι ἐκεῖ διεκρίθησαν Ἥφαιστος καὶ Ἀθηνᾶ καὶ Ἑρμῆς - -.

5) Cf. Hesych. s. v. Ἐλλοπιῆες· οἱ νῦν Ὠρεῖται παρὰ Χαλκιδεῦσιν.

6) Cf. Diod. IV 85, 5. ταῦτα δὲ διαπραξάμενον (sc. Orionem) εἰς Εὔβοιαν μεταναστῆναι κἀκεῖ κατοικῆσαι Baumeister p. 41.

7) Cf. Strab. p. 437 κατασχόντων δὲ τῶν Περραιβῶν αὐτὴν (sc. τὴν Ἱστιαιώτιδα), οἳ καὶ τῆς Εὐβοίας τὴν Ἱστιαιῶτιν κατεστρέψαντο καὶ τοὺς ἀνθρώπους εἰς τὴν ἤπειρον ἀνέσπασαν, διὰ τὸ πλῆθος τῶν ἐποικησάντων Ἱστιαίων τὴν χώραν ἀπ' ἐκείνων οὕτως ἐκάλεσαν.

Ἀττικῇ. (6) II. Κάρυστος[1]) δέ ἐστιν ὑπὸ τῷ ὄρει τῇ Ὄχῃ· πλησίον δὲ τὰ Στύρα καὶ τὸ Μαρμάριον, ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων, ἱερὸν ἔχον Ἀπόλλωνος Μαρμαρίνου, ὅθεν διάπλους εἰς Ἁλὰς τὰς Ἀραφηνίδας. ἐν δὲ τῇ Καρύστῳ καὶ ἡ λίθος φύεται ἡ ξαινομένη καὶ ὑφαινομένη, ὥστε τὰ ὕφη χειρόμακτρα γίνεσθαι, ῥυπωθέντα δὲ εἰς φλόγα βάλλεσθαι καὶ ἀποκαθαίρεσθαι τῇ πλύσει τῶν λίνων παραπλησίως[2]). ᾠκίσθαι δὲ τὰ χωρία ταῦτά φασιν ὑπὸ τῶν ἐκ τετραπόλεως τῆς περὶ Μαραθῶνα καὶ Στειριέων· κατεστράφη δὲ τὰ Στύρα ἐν τῷ Λαμιακῷ πολέμῳ ὑπὸ Φαίδρου τοῦ Ἀθηναίων στρατηγοῦ· τὴν δὲ χώραν ἔχουσιν Ἐρετριεῖς. Κάρυστος δέ ἐστι καὶ ἐν τῇ Λακωνικῇ[3]) τόπος τῆς Αἴγυος πρὸς Ἀρκαδίαν, ἀφ' οὗ Καρύστιον οἶνον Ἀλκμὰν (fr. 117) εἴρηκε. (7) Γεραιστὸς δ' ἐν μὲν τῷ καταλόγῳ τῶν νεῶν οὐκ εἴρηται, μέμνηται δ' ὁ ποιητὴς ὅμως αὐτοῦ 'ἐς δὲ Γεραιστὸν ἐννύχιοι κατάγοντο' (Γ, 177) καὶ δηλοῖ διότι τοῖς διαίρουσιν ἐκ τῆς Ἀσίας εἰς τὴν Ἀττικὴν ἐπικαιρίως κεῖται τῷ Σουνίῳ πλησιάζον τὸ χωρίον· ἔχει δ' ἱερὸν Ποσειδῶνος ἐπισημότατον τῶν ταύτῃ καὶ κατοικίαν ἀξιόλογον.

(8) Μετὰ δὲ τὸν Γεραιστὸν III. Ἐρέτρια πόλις μεγίστη τῆς Εὐβοίας μετὰ Χαλκίδα, ἔπειθ' ἡ Χαλκὶς μητρόπολις τῆς νήσου τρόπον τινὰ ἐπ' αὐτῷ τῷ Εὐρίπῳ ἱδρυμένη· ἀμφότεραι δὲ πρὸ τῶν Τρωικῶν ὑπ' Ἀθηναίων ἐκτίσθαι λέγονται καὶ μετὰ τὰ Τρωικὰ Αἶκλος καὶ Κόθος[4]) ἐξ Ἀθηνῶν ὁρμηθέντες, ὁ μὲν τὴν Ἐρέτριαν ᾤκισε, Κόθος δὲ τὴν Χαλκίδα· καὶ τῶν Αἰολέων δέ τινες ἀπὸ τῆς Πενθίλου στρατιᾶς κατέμειναν ἐν τῇ νήσῳ, τὸ δὲ παλαιὸν καὶ Ἄραβες οἱ Κάδμῳ συνδιαβάντες· αἱ δ' οὖν πόλεις αὗται διαφερόντως αὐξηθεῖσαι καὶ ἀποικίας ἔστειλαν ἀξιολόγους εἰς Μακεδονίαν· Ἐρέτρια μὲν γὰρ συνῴκισε τὰς περὶ Παλλήνην καὶ τὸν Ἄθω πόλεις, ἡ δὲ Χαλκὶς τὰς ὑπὸ Ὀλύνθῳ, ἃς Φίλιππος διελυμήνατο. καὶ τῆς Ἰταλίας δὲ καὶ Σικελίας πολλὰ χωρία Χαλκιδέων ἐστίν· ἐστάλησαν δὲ αἱ ἀποικίαι αὗται, καθάπερ εἴρηκεν Ἀριστοτέλης (fr. 560), ἡνίκα ἡ τῶν Ἱπποβοτῶν καλουμένη ἐπεκράτει πολιτεία· προέστησαν γὰρ αὐτῆς ἀπὸ τιμημάτων ἄνδρες ἀριστοκρατικῶς ἄρχοντες. κατὰ δὲ τὴν Ἀλεξάνδρου διάβασιν καὶ τὸν περίβολον τῆς πόλεως ηὔξησαν, ἐντὸς τείχους λαβόντες τόν τε Κάνηθον καὶ τὸν Εὔριπον[5]) ἐπιστήσαντες τῇ γεφύρᾳ πύργους καὶ πύλας καὶ τεῖχος. (9) ὑπέρκειται δὲ τῆς τῶν IV. Χαλκιδέων πόλεως τὸ Λήλαντον καλούμενον πεδίον. ἐν δὲ τούτῳ θερμῶν τε ὑδάτων εἰσὶν ἐκβολαὶ πρὸς θεραπείαν νόσων εὐφυεῖς, οἷς ἐχρήσατο καὶ Σύλλας Κορνήλιος, ὁ τῶν Ῥωμαίων ἡγεμών[6]). καὶ μέταλλον δ' ὑπῆρχε θαυμαστὸν χαλκοῦ καὶ σιδήρου κοινόν, ὅπερ οὐχ ἱστοροῦσιν ἀλλαχοῦ συμβαῖνον· νυνὶ μέντοι ἀμφότερα ἐκλέλοιπεν[7]). ἔστι δὲ καὶ ἅπασα μὲν ἡ Εὔβοια εὔσειστος, μάλιστα δ' ἡ περὶ τὸν πορθμόν, καὶ δεχομένη πνευμάτων ὑποφοράς, καθάπερ καὶ ἡ Βοιωτία καὶ ἄλλοι τόποι, περὶ ὧν ἐμνήσθημεν διὰ πλειόνων πρότερον. ὑπὸ τοιοῦδε πάθους καὶ ἡ ὁμώνυμος τῇ νήσῳ πόλις[8]) καταποθῆναι λέγεται, ἧς μέμνηται καὶ Αἰσχύλος ἐν τῷ Ποντίῳ Γλαύκῳ· (fr. 30 Nauck²) 'Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς ἀκτήν, κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα.' Χαλκὶς[1]) δὲ ὁμωνύμως λέγεται καὶ ἐν Αἰτωλίᾳ· 'Χαλκίδα τ' ἀγχίαλον, Καλυδῶνά τε πετρήεσσαν' καὶ ἐν τῇ νῦν Ἠλείᾳ· 'βὰν δὲ παρὰ Κρουνοὺς καὶ Χαλκίδα πετρήεσσαν' οἱ περὶ Τηλέμαχον ἀπιόντες παρὰ Νέστορος εἰς τὴν οἰκείαν. (10) V. Ἐρέτριαν δ' οἱ μὲν ἀπὸ Μακίστου τῆς Τριφυλίας ἀποικισθῆναί φασιν ὑπ' Ἐρετριέως[2]), οἱ δ' ἀπὸ τῆς Ἀθήνησιν[3]) Ἐρετρίας, ἣ νῦν ἐστιν ἀγορά· ἔστι δὲ καὶ περὶ Φάρσαλον Ἐρέτρια, ἱερὰ τοῦ Ἀπόλλωνος [cf. IG IX 2, p. 52] Ἀδμήτου δ' ἵδρυμα λέγεται τὸ ἱερόν, παρ' ᾧ θητεῦσαι λέγουσι [τὸν θεὸν] αὐτόν[4]). Μελανηὶς[5]) δ' ἐκαλεῖτο πρότερον ἡ Ἐρέτρια καὶ Ἀρότρια[6]). ταύτης δ' ἐστὶ κώμη ἡ Ἀμάρυνθος ἀφ' ἑπτὰ σταδίων τοῦ τείχους. τὴν μὲν οὖν ἀρχαίαν πόλιν κατέσκαψαν Πέρσαι σαγηνεύσαντες[7]), ὥς φησιν Ἡρόδοτος (VI 101), τοὺς ἀνθρώπους τῷ πλήθει, περιχυθέντων τῶν βαρβάρων τῷ τείχει· καὶ δεικνύουσιν ἔτι τοὺς θεμελίους, καλοῦσι δὲ παλαιὰν Ἐρέτριαν[8]), ἡ δὲ νῦν ἐπέκτισται· τὴν δὲ δύναμιν τὴν Ἐρετριέων, ἣν ἔσχον ποτέ, μαρτυρεῖ ἡ στήλη, ἣν ἀνέθεσάν ποτε ἐν τῷ ἱερῷ τῆς Ἀμαρυνθίας Ἀρτέμιδος· γέγραπται δ' ἐν αὐτῇ τρισχιλίοις μὲν ὁπλίταις, ἑξακοσίοις δ' ἱππεῦσιν, ἑξήκοντα δ' ἅρμασι ποιεῖν τὴν πομπήν· ἐπῆρχον δὲ καὶ Ἀνδρίων καὶ Τηνίων καὶ Κείων[9]) καὶ ἄλλων νήσων. ἐποίκους δ' ἔσχον ἀπ' Ἤλιδος, ἀφ' οὗ καὶ τῷ γράμματι τῷ ῥῶ πολλῷ χρησάμενοι, οὐκ ἐπὶ τέλει μόνον τῶν ῥημάτων ἀλλὰ καὶ ἐν μέσῳ, κεκωμῴδηνται[10]). ἐν δὲ τῇ Ἐρετρικῇ πόλις ἦν Τάμυναι[11]) πλησίον τοῦ πορθμοῦ. ἔστι δὲ καὶ Οἰχαλία κώμη τῆς Ἐρετρικῆς, λείψανον τῆς ἀναιρεθείσης πόλεως ὑπὸ Ἡρακλέους, ὁμώνυμος τῇ Τραχινίᾳ καὶ τῇ περὶ Τρίκκην καὶ τῇ Ἀρκαδικῇ, ἣν Ἀνδανίαν οἱ ὕστερον ἐκάλεσαν, καὶ τῇ ἐν τῇ Αἰτωλίᾳ περὶ τοὺς Εὐρυτᾶνας.

---

1) Inde Steph. Byz. s. v. Κάρυστος, πόλις ὑπὸ τῇ Ὄχῃ ὄρει τῆς Εὐβοίας. ἀπὸ Καρύστου τοῦ Χείρωνος. Θεοδωρίδας Χειρωνίαν αὐτήν φησι. κεῖται δ' ἡ πόλις πρὸς τῷ Μυρτῴῳ πελάγει ὑπὸ τῷ ὄρει Ὄχῃ. ἐκλήθη δὲ τὸ ὄρος ἀπὸ τῆς [ἐκεῖ ὀχείας, ἤτοι] τῶν θεῶν μίξεως Διὸς καὶ Ἥρας, ἢ διὰ τὸ τὰ πρόβατα κυΐσκεσθαι ὀχευόμενα ἐν τῷ τόπῳ· οἱ γὰρ Ἀχαιοὶ τὴν τροφὴν ὀχήν φασι. λέγεται καὶ ἀρσενικῶς ὁ Ὄχης. ἐν ταύτῃ τῇ πόλει γίνεται 'λίθος ἡ ξαινομένη - - ἀποκαθαίρεσθαι τὸν πίνον τῇ πλύσει παραπλησίως'. ἐκαλεῖτο δὲ καὶ Αἰγαία ἀπὸ Αἰγαίωνος τοῦ δυναστεύοντος, ἀφ' οὗ καὶ τὸ πέλαγος Αἰγαῖον. ἔστι καὶ Κάρυστος τόπος τῆς Αἴγυος - - Ἀλκμὰν ἔφη, καθὰ Στράβων δεκάτῃ. τῆς προτέρας τὸ ἐθνικὸν Καρύστιος 'ἐν ᾧ τὸ λατόμιον τῶν Καρυστίων κιόνων' καὶ θηλυκὸν Καρυστία. De nomine Cheironia cf. Bursian *Quaest. Eub.* 22. De nomine Aegaea consentit Schol. Ap. Rhod. I 1165.

2) Plut. De def. orac. p. 434 *A*: τῇ δ' ἐν Καρύστῳ πέτρᾳ χρόνος οὐ πολὺς ἀφ' οὗ πέπαυται μηρύματα λίθων μαλακὰ νηματώδη συνεκφέρουσα. καὶ γὰρ ὑμῶν ἑωρακέναι τινὰς οἴομαι χειρόμακτρα καὶ δίκτυα καὶ κεκρυφάλους ἐκεῖθεν οὔτι περικαομένους· ἀλλ' ὅσ' ἂν ῥυπανθῇ χρωμένων, ἐμβαλόντες εἰς φλόγα λαμπρὰ καὶ διαφανῆ κομίζονται· νῦν δὲ ἠφάνισται καὶ μόλις οἷον ἶνες ἢ τρίχες ἀραιαὶ διατρέχουσιν ἐν τοῖς μετάλλοις.

3) Cf. Kolbe IG V 1 p. 171.

4) Cf. Plut. Quaest. Gr. 22: Κόθος καὶ Αἶκλος οἱ Ξούθου παῖδες εἰς Εὔβοιαν ἧκον οἰκήσοντες Αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων. Vell. Pat. I 4.

5) Strab. p. 400: προστίθησι δὲ (sc. Ἔφορος) ὅτι καὶ τὴν Εὔβοιαν τρόπον τινὰ μέρος αὐτῆς (sc. τῆς Βοιωτίας) πεποίηκεν ὁ Εὔριπος οὕτω στενὸς ὢν καὶ γεφύρᾳ συνεζευγμένος πρὸς αὐτὴν διπλέθρῳ. p. 403. καὶ ὁ Εὔριπος δ' ἐστὶ πλησίον ὁ Χαλκίδος εἰς ὃν ἀπὸ Σουνίου στάδιοι ἑβδομήκοντα· ἔστι δ' ἐπ' αὐτῷ γέφυρα δίπλεθρος ὡς εἴρηκα· πύργος δ' ἑκατέρωθεν ἐφέστηκεν ὁ μὲν ἐκ τῆς Χαλκίδος ὁ δ' ἐκ τῆς Βοιωτίας· διῳκοδόμηται δ' εἰς αὐτοὺς σῦριγξ. περὶ δὲ τῆς παλιρροίας τοῦ Εὐρίπου τοσοῦτον μόνον εἰπεῖν ἱκανόν, ὅτι ἑπτάκις μεταβάλλειν φασὶ καθ' ἡμέραν ἑκάστην καὶ νύκτα· τὴν δ' αἰτίαν ἐν ἄλλοις σκεπτέον; cf. infra ad a. 411/10.

6) Cf. infra Aedepsus.

7) Plut. De def. orac. p. 434 *A*: καὶ μετάλλων ἴσμεν ἐξαμαυρώσεις γεγονέναι καινάς, ὡς τῶν περὶ τὴν Ἀττικὴν ἀργυρείων καὶ τῆς ἐν Εὐβοίᾳ χαλκίτιδος, ἐξ ἧς ἐδημιουργεῖτο τὰ ψυχήλατα τῶν ξιφῶν, ὡς Αἰσχύλος εἴρηκε 'λαβὼν γὰρ αὐτόθηκτον Εὐβοϊκὸν ξίφος'.

8) De hac urbe per errorem a Strabone ex Aeschyli verbis sumpta cf. Geyer p. 115.

---

1) Cf. Steph. Byz. s. v. Χαλκίς, πόλις Εὐβοίας. Ἑκαταῖος Εὐρώπῃ 'Χαλκὶς πόλις ἐστίν, ἡ πρότερον Εὔβοια προσηγορεύετο'. ἐκλήθη δὲ ἀπὸ Κόμβης τῆς Χαλκίδος καλουμένης, θυγατρὸς Ἀσωποῦ. τινὲς δὲ Χαλκιδεῖς φασι κληθῆναι διὰ τὸ χαλκουργεῖα πρῶτον παρ' αὐτοῖς ὀφθῆναι. τὸ παλαιὸν δὲ Στύμφηλος προσηγορεύετο, νῦν δὲ Ἁλίκαρνα. - - μέμνηται δ' αὐτῆς καὶ ὁ ποιητής 'Χαλκίδ' Ἐρέτριάν τε πολυστάφυλόν τ' Ἱστίαιαν'. ὁ πολίτης Χαλκιδεύς - - καὶ τὸ θηλυκὸν ὁμώνυμον τῇ πόλει ... Ἑλλάνικος ἱερειῶν Ἥρας δευτέρῳ 'Θεοκλέης ἐκ Χαλκίδος μετὰ Χαλκιδέων καὶ Ναξίων ἐν Σικελίῃ πόλεις ἔκτισε'. τὸ κτητικὸν Χαλκιδικόν. Ἀριστοφάνης Ἱππεῦσι 'τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον'. καλοῦνται δὲ καὶ οἱ ἐν τῇ Κύμῃ τῆς Σικελίας Χαλκιδεῖς. - - ἔστι καὶ β' Χαλκὶς πόλις Κορίνθου, γ' Αἰτωλίας, ἀφ' ἧς Ἀχελῷος ῥεῖ - - δ' πόλις ἐν Συρίᾳ, κτισθεῖσα ὑπὸ Μονικοῦ τοῦ Ἄραβος. τὸ ταύτης ἐθνικὸν Χαλκιδηνός. [ε'] ἔστι καὶ πόλις Χαλκὶς ἐν Σκυθίᾳ - - ϛ' καὶ πόλις Χαλκῖτις ἐν Μεσσαπίᾳ. ζ' νῆσος ἔχουσα πόλιν ὁμώνυμον πρὸς τῇ Λέσβῳ, ἧς οἱ πολῖται Χαλκιδεῖς. ἔστι καὶ ἐν Ἄθῳ ἄλλη Χαλκίς - -

2) Ἐρετριεύς filius Φαέθοντος unus e Titanibus sec. Schol. Il. *B* 537 Eustath. ad eund. loc.

3) Cf. Strab. p. 447: ἀμφότεραι δὲ πρὸ τῶν Τρωικῶν ὑπ' Ἀθηναίων ἐκτίσθαι λέγονται, καὶ μετὰ τὰ Τρωικὰ Αἶκλος καὶ Κόθος ἐξ Ἀθηνῶν ὁρμηθέντες ὁ μὲν τὴν Ἐρέτριαν ᾤκισε, Κόθος δὲ τὴν Χαλκίδα.

4) Locum corruptum sic constituit Kramer ἔστι δὲ καὶ περὶ Φάρσαλον Ἐρέτρια [ἱερὰ τοῦ Ἀπόλλωνος· Ἀδμήτου δὲ ἵδρυμα λέγεται τὸ ἱερόν, παρ' ᾧ θητεῦσαι λέγουσι τὸν θεὸν αὐτὸν] ἐν δὲ τῇ Ἐρετρικῇ πόλις ἦν Τάμυναι πλησίον τοῦ Πορθμοῦ.

5) Inde Steph. Byz. s. v. Ἐρέτρια πόλις Εὐβοίας. Ὅμηρος 'Χαλκίδα τ' Εἰρέτριάν τε'. ἐκαλεῖτο δὲ Μελανηὶς ἀπὸ Μελανέως τοῦ Εὐρύτου πατρός. οὕτω δ' ἐκλήθη ἀπὸ Ἐρετριέως τοῦ Φαέθοντος υἱοῦ. τοῦτον δ' εἶναι ἕνα τῶν Τιτάνων. ἔστι καὶ Θεσσαλίας. ὁ πολίτης Ἐρετριεύς. καὶ κλίνεται Ἐρετριέως καὶ Ἐρετριῶς ὡς Στειριῶς. καὶ Ἐρετρὶς θηλυκὸν καὶ Ἐρετριάς. καὶ Ἐρέτριος καὶ Ἐρετριαῖος καὶ Ἐρετριακός. Re vera Ἐρετρικός est ethnicum fere solum probatum metro poëtarum, titulis nec non auctoribus, quorum omnium locos congessit Dittenberger *Herm.* XXX 203/5.

6) Nomen Ἀρότρια mutatum quidem in Ἀλέτρια (cf. Κακαλέτρι = Ἴρα) nostris quoque temporibus usitatum esse ipse comperi atque iam Ulrichs *Reis. u. Forsch.* II 243 testatus est. De nominibus Eretriae cf. Heinze *De reb. Eretr.* 11 sq.

7) Herod. l. a. non dicit σαγηνεύειν sed VI 31, praeterea cf. Platonis locos infra sub a. 480 allatos.

8) Cf. Strab. p. 403: ἀρχὴ δ' ὁ Ὠρωπὸς καὶ ὁ ἱερὸς λιμὴν ὃν καλοῦσι Δελφίνιον, καθ' ὃν ἡ παλαιὰ Ἐρέτρια ἐν τῇ Εὐβοίᾳ, διάπλουν ἔχουσα ἑξήκοντα σταδίων; μετὰ δὲ τὸ Δελφίνιον ὁ Ὠρωπὸς ἐν εἴκοσι σταδίοις· κατὰ δὲ τοῦτόν ἐστιν ἡ νῦν Ἐρέτρια, διάπλους δ' ἐπ' αὐτὴν στάδιοι τετταράκοντα.

9) Cf. IG XII 5, 2 Test. 1214. Hinc fortasse Ceis πρόβουλοι manserunt cf. *Bull. Hell.* X 172.

10) Cf. Paroemiogr. Gr. II 419: Ἐρετριέων ῥῶ· ἐπὶ τῶν κατακόρως τισι χρωμένων. κατακόρως γὰρ οὗτοι χρῶνται τῷ ῥῶ. De sermone Eretriensi adeas v. Wilamowitz *Z. f. Gymnasialw.* 1877, 645; *Herm.* XXI 98 sq; Hoffmann *Die griech. Dialekte* 3, 576 sq. Suidas s. v. χαλκιδίζειν. ἄλλοι τε ἐπὶ τῷ ῥωτακίζειν, ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ῥ κατακορεστέρως χρῆσθαι καὶ ἀντὶ τοῦ σ τιθέντες.

11) Steph. Byz. s. v. Τάμυνα, πόλις Ἐρετρίας. Στράβων δεκάτη. καὶ πληθυντικῶς 'εἰς τὰς Ταμύνας' (Demosth. 39, 16). τὸ ἐθνικὸν Ταμυνεύς, καὶ θηλυκὸν Ταμυνηίς ἐξ αὐτοῦ. λέγεται καὶ Ταμυναῖος. οὕτω γὰρ ὁ Ζεὺς ἐν αὐτῇ τιμᾶται. Παυσανίας ι' περιηγήσεως. De hoc loco cf. Robert *Pausanias als Schriftsteller* 1909 p. 262. — Harpocr. s. v. Ταμῦναι· Αἰσχίνης κατὰ Κτησιφῶντος. πόλις ἐστὶν ἐν Εὐβοίᾳ ἐν τῇ χώρᾳ τῶν Ἐρετριέων αἱ Τάμυναι, ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος ὡς οἵ τε τὰ Εὐβοικὰ γράψαντες μαρτυροῦσι καὶ Σιμωνίδης [sic Valesius — fr. 35 Bergk] ἐν τῷ εἰς Λυσίμαχον τὸν Ἐρετριέα θρήνῳ. Inde Suidas s. v. Τάμυναι πόλις ἐν τῇ χώρᾳ τῶν Ἐρετριέων, ἔνθα καὶ ἱερὸν Ἀπόλλωνος, ὡς Αἰσχίνης φησὶ καὶ οἱ τὰ Εὐβοϊκὰ γράψαντες. Cf. Photius 568, 14.

(11) Νυνὶ μὲν οὖν ὁμολογουμένως ἡ Χαλκὶς φέρεται τὰ πρωτεῖα καὶ μητρόπολις αὕτη λέγεται τῶν Εὐβοέων, δευτερεύει δ' ἡ Ἐρέτρια. ἀλλὰ καὶ πρότερον αὗται μέγα εἶχον ἀξίωμα καὶ πρὸς πόλεμον καὶ πρὸς εἰρήνην, ὥστε καὶ φιλοσόφοις ἀνδράσι παρασχεῖν διαγωγὴν ἡδεῖαν καὶ ἀθόρυβον. μαρτυρεῖ δ' ἥ τε τῶν Ἐρετρικῶν φιλοσόφων σχολὴ τῶν περὶ Μενέδημον ἐν τῇ Ἐρετρίᾳ γενομένη καὶ ἔτι πρότερον ἡ Ἀριστοτέλους ἐν τῇ Χαλκίδι διατριβή, ὅς γε κἀκεῖ κατέλυσε τὸν βίον. (12) Τὸ μὲν οὖν πλέον ὡμολόγουν ἀλλήλαις αἱ πόλεις αὗται, περὶ δὲ Ληλάντου διενεχθεῖσαι οὐδ' οὕτω τελέως ἐπαύσαντο, ὥστ' ἐν τῷ πολέμῳ κατὰ αὐθάδειαν δρᾶν ἕκαστα, ἀλλὰ συνέθεντο, ἐφ' οἷς συστήσονται τὸν ἀγῶνα. δηλοῖ δὲ καὶ τοῦτο ἐν τῷ Ἀμαρυνθίῳ στήλη τις φράζουσα μὴ χρῆσθαι τηλεβόλοις[1]) - - - (13) Οἱ δ' Εὐβοεῖς ἀγαθοὶ πρὸς μάχην ὑπῆρξαν τὴν σταδίαν, ἣ καὶ συστάδην λέγεται καὶ ἐκ χειρός. δόρασι δ' ἐχρῶντο τοῖς ὀρεκτοῖς - - περιφέρεται δὲ καὶ χρησμὸς ἐκδοθεὶς Αἰγιεῦσιν[2]) "ἵππον Θεσσαλικόν, Λακεδαιμονίαν δὲ γυναῖκα, ἄνδρας θ', οἳ πίνουσιν ὕδωρ ἱερῆς Ἀρεθούσης", τοὺς Χαλκιδέας λέγων ὡς ἀρίστους· ἐκεῖ γὰρ ἡ Ἀρέθουσα. (14) Εἰσὶ δὲ νῦν Εὐβοῖται ποταμοὶ Κηρεὺς καὶ Νηλεὺς ὧν ἀφ' οὗ μὲν πίνοντα τὰ πρόβατα λευκὰ γίνεται, ἀφ' οὗ δὲ μέλανα· καὶ περὶ τὸν Κρᾶθιν δὲ εἴρηται τοιοῦτόν τι συμβαῖνον[3]). (15) Τῶν δ' ἐκ Τροίας ἐπανιόντων Εὐβοέων τινὲς εἰς Ἰλλυριοὺς ἐκπεσόντες, ἀποβαίνοντες οἴκαδε διὰ τῆς Μακεδονίας περὶ Ἔδεσσαν ἔμειναν, συμπολεμήσαντες τοῖς ὑποδεξαμένοις, καὶ ἔκτισαν πόλιν Εὔβοιαν· ἦν δὲ καὶ ἐν Σικελίᾳ Εὔβοια[4]). Χαλκιδέων τῶν ἐκεῖ κτίσμα, ἣν Γέλων ἐξανέστησε, καὶ ἐγένετο φρούριον Συρακουσίων· καὶ ἐν Κερκύρᾳ[5]) δὲ καὶ ἐν Λήμνῳ τόπος ἦν Εὔβοια καὶ ἐν τῇ Ἀργείᾳ λόφος τις.

3. C. 350 a. Chr. Scylax 58:

μετὰ δὲ Ἄνδρον Εὔβοια νῆσος· αὕτη τετράπολις· εἰσὶ δὲ ἐν αὐτῇ Κάρυστος, Ἐρέτρια καὶ λιμήν, Χαλκὶς καὶ λιμήν, Ἑστίαια καὶ λιμήν. ἡ δὲ Εὔβοια ἀπὸ Κηναίου Διὸς ἱεροῦ ἐπὶ Γεραιστόν, Ποσειδῶνος ἱερόν, ἔχει στάδια ΑΤΝʹ· τὸ δὲ πλάτος στενή ἐστιν ἡ Εὔβοια.

4. [Scymnus] v. 567 sq. *Geogr. Gr. min.* I 218:

Εὔβοια κεῖται νῆσος, ἡ καλουμένη | διὰ τὴν φύσιν τὸ πρότερον ὥς φασιν, Μάκρις, | ἔπειτεν ἀπὸ τῆς λεγομένης Ἀσωπίδος | χρόνῳ λαβοῦσα τοὔνομ' Εὐβοίας πάλιν | πρώτους δ' ἐν αὐτῇ φασὶν οἰκῆσαι προτοῦ | μιγάδας συνοίκους Λέλεγας· ἐκ τῆς τ' Ἀττικῆς | τὸν Ἐρεχθέως διαβάντα Πάνδωρον κτίσαι | πόλιν μεγίστην τῶν ἐν αὐτῇ Χαλκίδα, | Αἴκλον δ' Ἐρέτριαν, ὄντ' Ἀθηναῖον γένει, | τὴν δ' ἐναλίαν Κήρινθον ὡσαύτως Κόθον, | Δρύοπας δὲ τὴν Κάρυστον ὠνομασμένην· | ἡ δ' Ἑστίαια γέγονε Περραιβῶν κτίσις.

5. Ptolem. III 15 in Euboea hos locos indicat (cf. Baumeister 38):

Κήναιον ἄκρον 52° 20′ : 38° 35′, Αἰδηψος 53° : 38° 15′, Χαλκὶς παρὰ τὸν Εὔριπον 53° 10′ : 38°, Ἐρετρία 53° 50′ : 37° 50′, Ἀμάρυνθος 54° 5′ : 37° 45′, Λέων ἄκρα 54° 15′ : 37° 20′, Καλὴ ἀκτή 54° 30′ : 37° 30′, Κάρυστος 54° 30′ : 37° 40′, Γεραιστὸς λιμήν 54° 40′ : 37° 45′, Καφηρεὺς ἄκρον 55° : 37° 50′, Κοῖλα Εὐβοίας 54° 25′ : 37° 50′, Χερσόνησος ἄκρα 54° 30′ : 38° 10′, Βουδώρου ποταμοῦ ἐκβολαὶ 54° : 38° 10′, Κήρινθος 53° 50′ : 38° 10′, Ἀρτέμιδος ἱερόν 53° 40′ : 38° 15′, Ὠρεός 53° 30′ : 38° 20′, Φαλασσία ἄκρα 53° 20′ : 38° 30′, Δῖον ἄκρον 53° : 38° 35′.

6. Plin. n. h. IV 63: Euboea et ipsa avolsa Boeotiae tam modico interfluente Euripo ut ponte iungantur, ad meridiem promontoriis duobus, Geraesto ad Atticam vergente et ad Hellespontum Caphereo, insignis, a septentrione Cenaeo, nusquam latitudinem ultra XLM passuum extendit, nusquam intra MM contrahit, sed in longitudinem universae Boeotiae ab Attica ad Thessaliam usque praetenta in CL mil. pass., circuitu vero CCCLXV. 64: abest ab Hellesponto parte Capherei CCXXV mil. passuum, urbibus quondam Pyrra, Porthmo, Neso, Cerintho, Oreo, Dio, Aedepso, Ocha, Oechalia, nunc Chalcide, cuius ex adverso in continenti Aulis est, Geraesto, Eretria, Carysto, Oritano, Artemisio, fonte Arethusa, flumine Lelanto aquisque calidis quae Ellopiae vocantur nobilis, notior tamen marmore Carystio. Antea vocitata est Chalcodontis aut Macris, ut Dionysius et Ephorus tradunt, ut Aristides Macra, ut Callidemus Chalcis aere ibi primum reperto, ut Menaechmus Abantias, ut poëtae vulgo Asopis.

1) De his verbis cf. Helbig *SB Ak. München* 1911. 12 *Abh.* p. 28/29.

2) Cf. Schol. Theocr. XIV 47.

3) Cf. Ael. Hist. anim. 12, 36 καὶ ἐν Εὐβοίᾳ δὲ οἱ βόες λευκοὶ τίκτονται σχεδὸν πάντες, ἔνθεν τοὶ καὶ Ἀργίβοιον ἐκάλουν οἱ ποιηταὶ τὴν Εὔβοιαν. — Aristot. π. θαυμ. ἀκουσμάτ. 170 ἐν δὲ Εὐβοίᾳ δύο ποταμοὺς εἶναι, ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται, ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ Νηλεύς, ὃς μέλανα ποιεῖ. Plin. n. h. XXXI 13. Antig. hist. mir. 78.

4) Strab. p. 272 οὔτε γὰρ Ἱμέραν ἔτι συνοικουμένην ἴσμεν οὔτε Γέλαν οὔτε Καλλίπολιν οὔτε Σελινοῦντα οὔτε Εὔβοιαν οὔτ' ἄλλας πλείους, ὧν τὴν μὲν Ἱμέραν οἱ ἐν Μυλαῖς ἔκτισαν Ζαγκλαῖοι, .. Εὔβοιαν δὲ οἱ Λεοντῖνοι. Scymn. 287. De situ urbis Euboeae cf. Beloch I² 1, 242.

5) Infra p. 147, 10.

7. Nonn. Dionys. XIII 159 sq.:

οἳ λάχον ὀφρυόεσσαν Ἐρέτριαν, οἳ λάχον ἄμφω, | καὶ Στύρα καὶ Κήρινθον, ἀειδομένης τε Καρύστου | ἕδρανα καὶ Δίου κραναὸν πέδον, οἵ τ' ἔχον ἀκτήν, | ἀκτὴν κυματόεσσαν ἀσιτήτοιο Γεραιστοῦ, | καὶ Στύγα καὶ Κοτύλαιον ἕδος καὶ Σιριδος ἕδρην | Μαρμαρίου τε τένοντα καὶ Ὠγυγίης πέδον Αἰγῆς· | τοῖς ἅμα λαὸς ἵκανεν ὁμόστολος, οἷς πέλε πάτρη | Χαλκίς, ὀπισθοκόμων μητρόπτολις Ἑλλοπιήων.

8. Solin 11, 15 (p. 82 Mommsen) Carystos aquas calentes habet (Ellopias vocant) et carystias aves quae flammas impune involant: carbasa etiam quae inter ignes valent. Chalcis eadem habita est apud priscos, ut Callidemus auctor est, aere ibi primum reperto. Titanas in ea antiquissime regnasse ostendunt ritus religionum: Briareo enim rem divinam Carystii faciunt sicut Aegaeoni Chalcidienses: nam omnis ferme Euboea Titanum fuit regnum. — Solin 11, 24: Euboea tam modico aestu dividua est a Boeotiae continente, ut dubitandum sit, an numerari inter insulas debeat: nam latae quam vocant terrae ponte iungitur et per fabricam brevissimae machinae aditur pede. Cenaeo promunturio vadit in septentrionem, duobus aliis in meridiem extenditur: quorum Geraestos spectat Atticam, Caphereus prominet in Hellespontum.

Incolae: De fabulis cum Euboea coniunctis egerunt Girard *Mém.* 638 sq.; Bursian *Quaest. Eub.* 3—31; Dondorff *Die Ionier auf Euboia* 1860; Pflugk *Specimen* 13—21.

1. De incolarum antiquissimorum Euboeae sepulchris quae sunt aetatis prachistoricae cf. Karo *Arch. Relig.* XII 1909, 360, Mycenaicae vide Papabasileiu Περὶ τάφ. 19/20, cf. Tsuntas Προϊστορικ. ἀκροπόλ. Διμηνίου καὶ Σέσκλου 388 sq., qui coniecit eos qui acropolim Χαλανδριανῆς Syri in insula condiderunt, profectos esse ex Euboea.

2. Abantes quos e Phocide venisse, ubi oraculum Ἄβαι nomen eorum servavit, monuit Wilamowitz *Eurip. Heracl.* II 92. Testimonia de eis collegit Geyer I 19 cf. praeter Strab. p. 445. Paus. VII 4, 6 ἀφίκοντο δὲ καὶ Κᾶρες ἐς τὴν νῆσον (Chium) ἐπὶ τῆς Οἰνοπίωνος βασιλείας καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφίκετο δὲ ἐξ Ἱστιαίας ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίᾳ κατὰ μάντευμα ἐκ Δελφῶν. De Abante heroe cf. supra p. 143, 64 et Bursian *Quaest. Eub.* 10 sq. Ephorus apud Steph. Byz. p. 34, 19. ἕκτη (sc. Ἀθῆναι) Εὐβοίας, Δίαντος κτίσμα ὡς Ἔφορος τρίτῃ "Ἄβαντος δὲ γίγνονται παῖδες Ἄλκων καὶ Δίας καὶ Ἀρέθουσα, ὧν ὁ μὲν Δίας κτίσας πόλιν οὕτως ἀπὸ τῆς πατρίδος ὠνόμασεν".

3. *Curetes.* Cf. Poerner *De Curetibus et Corybantibus.* Diss. Hal. 1913, 276. Strab. p. 465:

Ἀρχέμαχος δ' ὁ Εὐβοεὺς φησι τοὺς Κουρῆτας ἐν Χαλκίδι συνοικῆσαι, συνεχῶς δὲ περὶ τοῦ Ληλάντου πεδίου πολεμοῦντας, ἐπειδὴ οἱ πολέμιοι τῆς κόμης ἐδράττοντο τῆς ἔμπροσθεν καὶ κατέσπων αὐτούς, ὄπισθεν κομῶντας γενέσθαι, τὰ δὲ ἔμπροσθεν κείρεσθαι· διὸ καὶ Κουρῆτας ἀπὸ τῆς κουρᾶς κληθῆναι· μετοικῆσαι δ' εἰς τὴν Αἰτωλίαν. — Strab. p. 472: οἱ δ' οὐ τοὺς Κουρῆτας, ἀλλὰ τοὺς Κορύβαντας Φρύγας (sc. λέγουσι), ἐκείνους δὲ Κρῆτας, περιθέσθαι δ' ὅπλα χαλκᾶ πρώτους ἐν Εὐβοίᾳ· διὸ καὶ Χαλκιδέας αὐτοὺς κληθῆναι. — Oxyr. Pap. X n. 105 IV 27: χαλκᾶ ὅπλα ἐνδῦναί φασιν ποιήσαντας Κούρητας ἐν Εὐβοίαι καθοπλίσαντας τοὺς μεθ' αὐτῶν ...τ.... Κύμυνδιν τὴν -[6-7]- βασίλισσαν. — Steph. Byz. s. v.: Αἰδηψος - - Ἐπαφρόδιτος δὲ μαρτυρεῖ ἐκεῖ χαλκὸν πρῶτον εὑρεθῆναι 'καὶ πρῶτοι χαλκὸν ἐκεῖ ἐνεδύσαντο οἱ Κούρητες οἱ μετὰ Διὸς ἐλθόντες, οὓς φύλακας τῆς νήσου καὶ τοῦ ἱεροῦ τῆς Ῥέας κατέλιπεν· ἀφ' οὗ οἱ Χαλκιδεῖς ὠνομάσθησαν'. — Nonnus XIII 136 sq. cf. hymnum n. 259.

4. *Aeolenses.* De Aeolensibus qui in Euboea remanserunt cf. Strab. p. 144, 23 et infra ad Chalcidem p. 166, 120 cf. Plut. Aet. Gr. p. 296 *D* Αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων. Praeterea Cyme urbs docet Aeolenses imprimis in ora insulae orienti obiecta consedisse. 'Praeter Cymen Aeolensium oppidum fuisse videtur Dium in Cenaeo promontorio positum, quippe cuius coloniam Canas Aeolidos oppidulum fuisse Strabo tradat' Bursian p. 16.

5. *Phlegyes.* Strab. p. 423:

Ὅμηρος δέ φησιν ὅτι οἱ Φαίηκες τὸν Ῥαδάμανθυν εἰς Εὔβοιαν 'ἤγαγον, ὀψόμενον Τιτυὸν γαιήϊον υἱόν' (η 321 sq.) καὶ Ἐλάριόν τι σπήλαιον ἀπὸ τῆς Τιτυοῦ μητρὸς Ἐλάρας δείκνυται κατὰ τὴν νῆσον καὶ ἡρῷον τοῦ Τιτυοῦ καὶ τιμαί τινες. — Euphorion apud Serv. ad Verg. Aen. VI 618 (Phlegyae) populi insulani fuerunt satis in deos impii et sacrilegi, unde iratus Neptunus percussit tridente eam partem insulae, quam Phlegyae tenebant.

6. *Ellopes* qui primum Histiaeam occupaverunt atque inde profecti Abantibus Cerinthum, Aedepsum, Orobias, aliasque urbes eripuerunt cf. Geyer I 85.

7. *Dryopes.* Cf. Bursian *Quaest. Eub.* 19 sq. Thuc. VIII 57: καὶ τὸ πλεῖστον Ἴωνες ὄντες οὗτοι πάντες καὶ ἀπ' Ἀθηναίων πλὴν Καρυστίων (οὗτοι δ' εἰσὶ Δρύοπες). — Herod. VIII 46: Στυρεῖς δὲ τὰς αὐτὰς παρείχοντο νέας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ, Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον, ἐόντες συναμφότεροι οὗτοι Δρύοπες — Diod. IV 37: τῶν δ' ἐκπεσόντων Δρυόπων οἱ μὲν εἰς τὴν Εὔβοιαν καταντήσαντες ἔκτισαν πόλιν Κάρυστον. — Paus. IV 34, 11: μόνοι δὲ τοῦ γένους τοῦ Δρυόπων οἱ Ἀσιναῖοι σεμνύνονται καὶ ἐς ἡμᾶς ἔτι τῷ ὀνόματι, οὐδὲν ὁμοίως καὶ Εὐβοιέων οἱ Στύρα ἔχοντες. εἰσὶ γὰρ καὶ οἱ Στυρεῖς Δρύοπες τὸ ἐξ ἀρχῆς ὅσοι τῆς πρὸς τὸν Ἡρακλέα οὐ μετέσχον μάχης ἀπωτέρω τῆς πόλεως ἔχοντες τὰς οἰκήσεις· ἀλλὰ οἱ μὲν Στυρεῖς καλεῖσθαι Δρύοπες ὑπερφρονοῦσι. — Carystios Dryopes arctiore quodam vinculo cum insula Delo cultuque Apollinis coniunctos fuisse testatur Herodotus iis quae de sacris ab Hyperboreis per totam Graeciam Euboeamque Carystum et inde per Tenum Delum translatis narrat (IV 33) (cf. v. Wilamowitz *Ant.* 135) nec non Καρυστίων οἶκος, qui fuit Deli de quo cf. XI 3, 287 *A* 78 et ἱεραγωγοὶ Καρυ[στίων] cf. Dürrbach ad IG XI 3, 291 *b. c. d.* 8, cf. 287 *A* 7.

Reges Euboeae. Hesiod. Oper. 654: ἔνθα δ' ἐγὼν ἐπ' ἄεθλα δαΐφρονος Ἀμφιδάμαντος Χαλκίδα τ' εἰσεπέρησα· ... ἔνθα μέ φημι ὕμνῳ νικήσαντα φέρειν τρίποδ' ὠτώεντα. τὸν μὲν ἐγὼ Μούσῃς Ἑλικωνιάδεσσ' ἀνέθηκα. — Plut. Sept. Sap. Conv. p. 153 *F*: ἀκούομεν γὰρ ὅτι καὶ πρὸς τὰς Ἀμφιδάμαντος ταφὰς εἰς Χαλκίδα τῶν τότε σοφῶν οἱ δοκιμώτατοι ποιηταὶ συνῆλθον· ἦν δὲ ὁ Ἀμφιδάμας ἀνὴρ πολεμικὸς καὶ πολλὰ πράγματα παρασχὼν Ἐρετριεῦσιν ἐν ταῖς περὶ Ληλάντου μάχαις ἔπεσεν, sequitur de certamine Homeri et Hesiodi cf. Plut. comment. in Hes. 62 - - τὸν μὲν οὖν Ἀμφιδάμαντα ναυμαχοῦντα πρὸς Ἐρετριέας ὑπὲρ τοῦ Ληλάντου ἀποθανεῖν. — Homer. et Hes. cert. Biogr. Gr. ed. Westermann p. 36, 59 sq.: Γανύκτωρ ἐπιτάφιον τοῦ πατρὸς Ἀμφιδάμαντος βασιλέως Εὐβοίας ἐπιτελῶν πάντας τοὺς ἐπισήμους ἄνδρας - - ἐπὶ τὸν ἀγῶνα - - συνεκάλεσεν. καὶ οὗτοι (sc. Homerus et Hesiodus) οὖν ἐκ τύχης, ὥς φασι, συμβαλόντες ἀλλήλοις ἦλθον εἰς τὴν Χαλκίδα. τοῦ δ' ἀγῶνος ἄλλοι τέ τινες τῶν ἐπισήμων Χαλκιδέων ἐκαθέζοντο κριταὶ καὶ μετ' αὐτῶν Πανείδης, ἀδελφὸς ὢν τοῦ τε τελευτηκότος - - p. 41, 207: ὁ δὲ βασιλεὺς τὸν Ἡσίοδον ἐστεφάνωσεν - -. De ceteris locis cf. Geyer I 25 cf. Paroem. Gr. II 606 Πανίδου ψῆφος. — Plut. Amat. narrat. p. 774 *C*: - - τὸ χωρίον (Leuctra), ὅτι καὶ πρότερον ἐνταῦθα ἠλευθερώθησαν, ὅτε Ἀμφικτύων ὑπὸ Σθενέλου φυγὰς ἐλθεὶς εἰς τὴν Θηβαίων ἀφίκετο πόλιν καὶ Χαλκιδεῦσι ὑποφόρους λαβὼν ἔπαυσε τὸν δασμόν, Χαλκώδοντα τὸν βασιλέα τῶν Εὐβοέων ἀποκτείνας. Paus. VIII 15, 6 - - Χαλκώδων δὲ οὐ πόρρω κρήνης καλουμένης Οἰνόης (sc. Phenei sepultus est) sed verisimile videtur Pausaniae alium fuisse Chalcodontem. Sepulchrum eius in Attica cf. Plut. Thes. 27. — Plut. Thes. 35: καὶ τέλος ἀπογνοὺς τὰ πράγματα (sc. Theseus) τοὺς μὲν παῖδας εἰς Εὔβοιαν ἐξέπεμψε πρὸς Ἐλεφήνορα τὸν Χαλκώδοντος - - cf. Paus. I 17, 6: Μενεσθεὺς δὲ τῶν μὲν παίδων τῶν Θησέως παρ' Ἐλεφήνορα ὑπεξελθόντων εἰς Εὔβοιαν εἶχεν οὐδένα λόγον. Plut. Aet. Gr. p. 299 *D*: ὑφ' ὧν ὁ Ποιμάνδρος εἰς Χαλκίδα συνεκπεμφθεὶς καὶ καθαρθεὶς παρ' Ἐλεφήνορι τὸν φόνον. — Paus. X 6, 4: λέγεται δὲ καὶ ὡς Κριοῦ δυναστεύοντος ἀνδρὸς περὶ Εὔβοιαν παῖς γένοιτο ὑβριστής, καὶ ἐσύλησε μὲν τοῦ θεοῦ τὸ ἱερόν, ἐσύλησε δὲ καὶ οἴκους ἀνδρῶν εὐδαιμόνων. ὡς δὲ ἐπεστράτευε καὶ δεύτερον, ἐνταῦθα οἱ Δελφοὶ τὸν Ἀπόλλωνα ἱκέτευον ἀμῦναί σφισι τὸν ἐπιόντα κίνδυνον (cf. 7, 1: οὗτός τε ὁ Εὐβοεὺς λῃστής). — Ps. Plut. Parallel. p. 307 *C*: Πυραίχμης βασιλεὺς Εὐβοέων ἐπολέμει Βοιωτοῖς. ὃν Ἡρακλῆς ἔτι νέος ὢν ἐνίκησε· πώλοις δὲ προσδήσας καὶ εἰς δύο μέρη διελὼν τὸν Πυραίχμην ἄταφον ἔρριψεν. ὁ δὲ τόπος προσαγορεύεται Πῶλοι Πυραίχμου'.

Bellum Milesiorum contra Carystios gestum, inventum illud quidem, quia proavus gentis Milesiae Euangelidarum Carystius fuisse dicebatur (cf. v. Wilamowitz *GGA* 1914, 76). Phot. bibl. p. 140 *a* (Conon Narrat. c. 44): - - ἦσαν δ' αὐτοῖς τότε δύο πόλεμοι Καρυστίοις καὶ Μηλιεῦσι (Μελιεῦσι Hiller) - - - Λεωδάμας δὲ (Milesius) λαμπρῶς κατὰ Καρυστίων ἀνδραγαθήσας καὶ κατὰ κράτος ἑλὼν τὴν πόλιν καὶ ἀνδραποδισάμενος, Μιλήτου ἐπανιὼν κατὰ τὰ συγκείμενα βασιλεύει. αἰχμάλωτον δὲ κατὰ χρησμὸν γυναῖκα Καρυστίαν - - μετὰ πολλῶν καὶ ἄλλων ἀναθημάτων, ἃ δεκάτη τῶν λαφύρων ἐτύγχανον, ἀνέπεμψεν ἐν Βραγχίδαις.

De coloniis.

Saec. VIII ineunte. [Scymn.] 580: πάλι δ' ἐρήμους γενομένας (sc. Σκῦρος, Πεπάρηθος, Σκίαθος) αὐτὰς ἁπάσας Χαλκιδεῖς συνῴκισαν cf. IG XII 8, 167. 175.

Saec. VIII c. 750. Thuc. VI 3: Ἑλλήνων δὲ πρῶτοι Χαλκιδῆς ἐξ Εὐβοίας πλεύσαντες μετὰ Θουκλέους οἰκιστοῦ Νάξον ᾤκισαν καὶ Ἀπόλλωνος Ἀρχηγέτου βωμόν, ὅστις νῦν ἔξω τῆς πόλεώς ἐστιν, ἱδρύσαντο, ἐφ' ᾧ, ὅταν ἐκ Σικελίας θεωροὶ πλέωσι, πρῶτον θύουσι. — Strab. p. 267: φησὶ δὲ ταύτας Ἔφορος πρώτας κτισθῆναι πόλεις Ἑλληνίδας ἐν Σικελίᾳ δεκάτῃ γενεᾷ μετὰ τὰ Τρωικά... Θεοκλέα δ' Ἀθηναῖον παρενεχθέντα ἀνέμοις εἰς τὴν Σικελίαν κατανοῆσαι τήν τε οὐδένειαν τῶν ἀνθρώπων καὶ τὴν ἀρετὴν τῆς γῆς, ἐπανελθόντα δὲ Ἀθηναίους μὲν μὴ πεῖσαι, Χαλκιδέας δὲ τοὺς ἐν Εὐβοίᾳ συχνοὺς παραλαβόντα καὶ τῶν Ἰώνων τινάς, ἔτι δὲ Δωριέων - - πλεῦσαι· τοὺς μὲν οὖν Χαλκιδέας κτίσαι Νάξον - - cf. [Scymnus] 274. — Steph. Byz. s. v.: Κατάνη ... κέκληται δὲ οὕτως, ἐπειδὴ κατέβη πρὸς τὸν Ἀμενανὸν ποταμὸν ἢ Θεοκλέους τοῦ Χαλκιδέως ναῦς, ἣν Δωριεῖς χωρὶς τοῦ ῑ νᾶν φασιν. — Hellanic. apud Steph. Byz. s. v.: Χαλκίς - - Ἑλλάνικος Ἱερειῶν Ἥρας δευτέρῳ (fr. 50) 'Θεοκλῆς ἐκ Χαλκίδος μετὰ Χαλκιδέων καὶ Ναξίων ἐν Σικελίᾳ πόλεις ἔκτισε'. — Kyme cf. infra sub Kyme Euboeae.

730/29. Thuc. VI 3, 3: Θουκλῆς δὲ καὶ οἱ Χαλκιδῆς ἐκ Νάξου ὁρμηθέντες ἔτει πέμπτῳ μετὰ Συρακούσας οἰκισθείσας Λεοντίνους τε, πολέμῳ τοὺς Σικελοὺς ἐξελάσαντες, οἰκίζουσι καὶ μετ' αὐτοὺς Κατάνην· οἰκιστὴν δὲ αὐτοὶ Καταναῖοι ἐποιήσαντο Εὔαρχον. — Thuc. VI 4, 5: Ζάγκλη τὴν μὲν ἀρχὴν ἀπὸ Κύμης τῆς ἐν Ὀπικίᾳ Χαλκιδικῆς πόλεως λῃστῶν ἀφικομένων ᾠκίσθη, ὕστερον δὲ καὶ ἀπὸ Χαλκίδος καὶ τῆς ἄλλης Εὐβοίας πλῆθος ἐλθὸν ξυγκατενείμαντο τὴν γῆν· καὶ οἰκισταὶ Περιήρης καὶ Κραταιμένης ἐγένοντο αὐτῆς, ὁ μὲν ἀπὸ Κύμης, ὁ δὲ ἀπὸ Χαλκίδος. At confer Paus. IV 23, 7: Ζάγκλην δὲ τὸ μὲν ἐξ ἀρχῆς κατέλαβον λῃσταί... ἡγεμόνες δὲ ἦσαν αὐτῶν Κραταιμένης Σάμιος καὶ Περιήρης ἐκ Χαλκίδος. Περιήρει δὲ ὕστερον καὶ Κραταιμένει καὶ ἄλλους ἐπαγαγέσθαι τῶν Ἑλλήνων ἔδοξεν οἰκήτορας. — Strab. p. 257: κτίσμα δ' ἐστὶ τὸ Ῥήγιον Χαλκιδέων, οὕς κατὰ χρησμὸν δεκατευθέντας τῷ Ἀπόλλωνι δι' ἀφορίαν ὕστερον ἐκ Δελφῶν ἀποικῆσαι δεῦρό φασι παραλαβόντας καὶ ἄλλους τῶν οἴκοθεν· ὡς δ' Ἀντίοχός φησι, Ζαγκλαῖοι μετεπέμψαντο τοὺς Χαλκιδέας καὶ οἰκιστὴν Ἀντίμνηστον συνέστησαν ἐκείνων. - - διόπερ οἱ τῶν Ῥηγίνων ἡγεμόνες μέχρι Ἀναξίλα ἐκ τοῦ Μεσσηνίων γένους ἀεὶ καθίσταντο (cf. ἡγεμόνας Chalcidensium). — Heracl. Pont. fr. 25: Ῥήγιον ᾤκισαν Χαλκιδεῖς οἱ ἀπ' Εὐρίπου διὰ λιμὸν ἀναστάντες [παρέλαβον δὲ καὶ ἐκ Πελοποννήσου τοὺς ἐν Μακίστῳ τυχόντας]. — Strab. p. 246: μετὰ δὲ Δικαιάρχειάν ἐστι Νεάπολις Κυμαίων (ὕστερον δὲ Χαλκιδεῖς ἐπῴκησαν καὶ Πιθηκουσσαίων τινὲς καὶ Ἀθηναίων, ὥστε καὶ Νεάπολις ἐκλήθη διὰ τοῦτο). — Origo Cumana comprobatur, ex quo innotuit Phratria Neapolis Εὐβοεῖς e titulo Latino posito a sodalibus, qui se appellant fretores Eubois cf. Sogliano *Notiz. scav.* 1900, 269; *Dessau* 6455. — Thuc. VI 5: καὶ Ἱμέρα ἀπὸ Ζάγκλης ᾠκίσθη ὑπὸ Εὐκλείδου καὶ Σίμου καὶ Σάκωνος καὶ Χαλκιδῆς μὲν οἱ πλεῖστοι ἦλθον ἐς τὴν ἀποικίαν, ξυνῴκισαν δὲ αὐτοῖς καὶ ἐκ Συρακουσῶν φυγάδες. — Strab. p. 247: Πιθηκούσσας δ' Ἐρετριεῖς ᾤκισαν καὶ Χαλκιδεῖς, εὐτυχήσαντες [δὲ] δι' εὐκαρπίαν καὶ διὰ τὰ χρυσεῖα ἐξέλιπον τὴν νῆσον κατὰ στάσιν, ὕστερον δὲ καὶ ὑπὸ σεισμῶν ἐξελαθέντες .... cf. Liv. VIII 22 Cumani Chalcide Euboica originem trahunt primo in insulas Aenariam et Pithecusas egressi, deinde in continentem ausi sedes transferre.

Saec. VII. Archilochi temporibus Chalcide regnaverunt δεσπόται Εὐβοίης δουρικλυτοί cf. fr. 4. Arist. Polit. p. 1289 *b* 36 sq.: διόπερ ἐπὶ τῶν ἀρχαίων χρόνων, ὅσαις πόλεσι ἐν τοῖς ἵπποις ἡ δύναμις ἦν, ὀλιγαρχίαι παρὰ τούτοις ἦσαν· ἐχρῶντο δὲ πρὸς τοὺς πολέμους ἵπποις πρὸς τοὺς ἀστυγείτονας οἷον Ἐρετριεῖς καὶ Χαλκιδεῖς καὶ Μάγνητες οἱ ἐπὶ Μαιάνδρῳ καὶ τῶν ἄλλων πολλοὶ περὶ τὴν Ἀσίαν.

Coloniae Chalcidensium.

Saec. VIII. Strab. VIII p. 329 fr. 11: τούτων δὲ πάντων οἱ Ἀργεάδαι καλούμενοι κατέστησαν κύριοι καὶ Χαλκιδεῖς οἱ ἐν Εὐβοίᾳ. ἐπῆλθον δὲ καὶ Χαλκιδεῖς οἱ ἐν Εὐβοίᾳ ἐπὶ τὴν τῶν Σιθώνων καὶ συνῴκισαν πόλεις ἐν αὐτῇ περὶ τριάκοντα, ἐξ ὧν ὕστερον ἐκβαλλόμενοι συνῆλθον εἰς μίαν οἱ πλείους αὐτῶν, εἰς τὴν Ὄλυνθον· ὠνομάζοντο δ' οἱ ἐπὶ Θρᾴκης Χαλκιδεῖς. Herod. VIII 127: τὴν δὲ πόλιν παραδιδοῖ Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν καὶ τῷ Χαλκιδικῷ γένει, καὶ οὕτω Ὄλυνθον Χαλκιδέες ἔσχον. — Thuc. I 58: καὶ Περδίκκας πείθει Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι. Urbes Chalcidensium τῶν ἐν Θρᾴκῃ omnes enumerare huius loci non est, quae tamen ab auctoribus saepius a colonis Chalcidensium τῶν ἐν Εὐβοίᾳ non satis distinguuntur cf. ut exemplis utar: — Thuc. IV 110: Τορώνην τὴν Χαλκιδικήν. Diod. XII 68: ἐπὶ πόλιν Τορώνην, ἄποικον μὲν Χαλκιδέων. — Thuc. IV 114: τοῖς δὲ Ἀθηναίοις κήρυκα προπέμψας ἐξιέναι ἐκέλευσεν ἐκ τῆς Ληκύθου ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας ὡς οὔσης Χαλκιδέων. — Steph. Byz. s. v. Κάψα, πόλις Χαλκιδικῆς χώρας κατὰ Παλλήνην. — Steph. Byz. s. v. Ἄσσηρα, οὐδετέρως, πόλις Χαλκιδέων. Θεόπομπος εἰκοστῇ τετάρτῃ. — Steph. Byz. s. v. Μίλκωρος, Χαλκιδικὴ πόλις ἐν Θρᾴκῃ. ὁ πολίτης Μιλκώριος. Θεόπομπος κε' Φιλιππικῶν. — Steph. Byz. s. v. Τίνδιον ἔστι καὶ Τίνδη Θρᾴκης Χαλκιδικὴ πόλις. Strab. p. 331 fr. 35 Στάγειρα, ἔρημος, καὶ αὐτὴ τῶν Χαλκιδικῶν ... —

Plut. Quaest. Gr. 30: Ἄνδριοι καὶ Χαλκιδεῖς πλεύσαντες εἰς Θρᾴκην οἰκήσεως ἕνεκα Σάνην μὲν πόλιν ἐκ προδοσίας κοινῇ παρέλαβον, τὴν δ' Ἄκανθον ἐκλελοιπέναι τοὺς βαρβάρους πυνθανόμενοι, δύο κατασκόπους ἔπεμψαν. - - ὁ μὲν Χαλκιδικὸς προεξέδραμεν ὡς καταληψόμενος τοῖς Χαλκιδεῦσι τὴν πόλιν - - sequitur arbitrium iudicum Erythraeorum, Samiorum et Pariorum. οἱ μὲν Ἐρυθραῖοι καὶ οἱ Σάμιοι τὴν ψῆφον Ἀνδρίοις ἤνεγκαν οἱ δὲ Πάριοι Χαλκιδεῦσι cf. IG XII 5, p. XII n. 1222.

Coloniae Eretriensium.

Saec. VIII ante a. 735. Plut. Quaest. Gr. 11: Κέρκυραν τὴν νῆσον Ἐρετριεῖς κατῴκουν Χαρικράτους (corr. Χερσι - - cf. Timaeum apud Schol. Apoll. Rhod. 4, 1216; Strab. p. 269 et titulum Χερσικρατίδαν a. 1914 auspiciis imperatoris nostri repertum) δὲ πλεύσαντος ἐκ Κορίνθου μετὰ δυνάμεως καὶ τῷ πολέμῳ κρατοῦντος, ἐμβάντες εἰς τὰς ναῦς οἱ Ἐρετριεῖς ἀπέπλευσαν οἴκαδε. προαισθόμενοι δ' οἱ πολῖται τῆς χώρας εἶργον αὐτοὺς καὶ ἀποβαίνειν ἐκώλυον σφενδονῶντες. μὴ δυνάμενοι δὲ μήτε πεῖσαι μήτε βιάσασθαι πολλοὺς μὲν ἀπαραιτήτους ὄντας, ἐπὶ Θρᾴκης ἔπλευσαν καὶ κατασχόντες χωρίον, ἐν ᾧ πρότερον οἰκῆσαι Μέθωνα τὸν Ὀρφέως πρόγονον ἱστοροῦσι, τὴν μὲν πόλιν ὠνόμασαν Μεθώνην, ὑπὸ δὲ τῶν προσοίκων ἀποσφενδόνητοι προσωνομάσθησαν cf. Steph. Byz. s. v. Μεθώνη ... ἐ Εὐβοίας i. e. colonia Euboeensium. — Meyer II § 302, *Arch. Jahrb.* 1911, 137. — Kyme cf. Dion. Hal. Arch. VII 3. — Strab. p. 447: Ἐρέτρια μὲν γὰρ συνῴκισε τὰς περὶ Παλλήνην καὶ τὸν Ἄθω πόλεις. Cf. Geyer I 62. — Δίκαια Ἐρετριῶν (Δικαιοπολῖται, Δ. Ἐρετριῶν ἄποικοι) ad sinum Thermaicum sita (cf. Plin. n. h. IV 10, 36) nota e laterculis tributorum foederis Attici cf. Koehler *Urk. u. Unters.* 175. — Thuc. IV 123: ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ Παλλήνῃ, Ἐρετριέων ἀποικία. Cf. Suid. Harpocr. s. v. Μένδη. Mela II 2. — Steph. Byz. s. v. Ὄκωλον, χωρίον Ἐρετριέων. Θεόπομπος Φιλιππικῶν εἰκοστῷ τετάρτῳ. τὸ ἐθνικὸν Ὀκωλιος. — Steph. Byz. s. v.: Σκάβαλα, χώρα Ἐρετριέων· Θεόπομπος εἰκοστῷ τετάρτῳ Φιλιππικῶν. τὸ ἐθνικὸν Σκαβαλαῖος Köhler *Urk. u. Unters.* 181. — Steph. Byz. s. v.: Φάρβηλος, πόλις Ἐρετριέων. τὸ ἐθνικὸν Φαρβήλιος.

A. fere 570? Bella Lelantia Chalcidensium gesta contra Eretrienses cf. IG XII 7 Testim. 1218. Thuc. I 15, 3: μάλιστα δὲ ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Χαλκιδέων καὶ Ἐρετριέων καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη. — Herod. V 99: οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ἐρετριεῦσι τὸν πρὸς Χαλκιδέας πόλεμον συνδιήνεικαν, ὅτε περ καὶ Χαλκιδεῦσι ἀντία Ἐρετριέων καὶ Μιλησίων Σάμιοι ἐβοήθεον. — De hoc gravissimo bello, cui potentissimae civitates maritimae intererant, cf. Busolt I² 456 sq.; Meyer II 539; Costanzi *La guerra Lelantea. Atene e Roma* 1902, 769 sq.; Prinz *Naukratis* 121; Beloch I² 1, 339. Thessalos tum Chalcidensibus adfuisse demonstrat Plut. Amat. p. 760 *E*: ἧκεν ἐπίκουρος (sc. Κλεόμαχος ὁ Φαρσάλιος) Χαλκιδεῦσι τοῦ Θεσσαλικοῦ πολέμου πρὸς Ἐρετριεῖς ἀκμάζοντος· καὶ τὸ μὲν πεζὸν ἐδόκει τοῖς Χαλκιδεῦσιν ἐρρῶσθαι, τοὺς δ' ἱππέας μέγ' ἔργον ἦν ὤσασθαι τῶν πολεμίων· παρεκάλουν δὴ τὸν Κλεόμαχον ἄνδρα λαμπρὸν ὄντα τὴν ψυχὴν οἱ σύμμαχοι πρῶτον ἐμβάλλειν εἰς τοὺς ἱππέας. - - ἐκ δὲ τούτου καὶ τῶν ὁπλιτῶν φυγόντων ἐνίκησαν κατὰ κράτος οἱ Χαλκιδεῖς. τὸν μέντοι Κλεόμαχον ἀποθανεῖν συνέτυχε· τάφον δ' αὐτοῦ δεικνύουσιν ἐν ἀγορᾷ Χαλκιδεῖς, ἐφ' οὗ μέχρι νῦν ὁ μέγας ἐφέστηκε κίων — De tempore belli ambigitur, cum priores Archilochi verba supra allata ad bellum Lelantium spectare putavissent, Costanzi et Beloch hoc recte negaverint. Iidem e versibus Theognideis 891—894 Οἴμοι ἀναλκίης· ἀπὸ μὲν Κήρινθος ὄλωλεν, Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον, οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσι. ὡς δὴ Κυψελιδέων Ζεὺς ὀλέσειε γένος concluserunt, bellum temporibus Cypselidarum atque regnante Periandro neque tamen ante bellum sacrum (590) gestum esse, quippe quo Thessalorum opes atque auctoritas usque ad mediam Graeciam pervenerint. — De elegiarum Chalcidicarum libro nobis quidem perdito cf. Crusius *Realenc.* V 2, 2267/8.

Post bellum Lelantium Eretrienses *Oropum* amiserunt, quae sermonem eorum retinuit ut vicus Eretriensium nomen Oropi. Cf. etiam Steph. Byz. s. v. Ἐλευθερίς, πόλις Βοιωτίας Ὠρωποῦ πλησίον, Κόθου καὶ Αἴκλου (sc. heroum Eretriensium) [κτίσμα]. Θεόπομπος κ' τὸ ἐθνικὸν Ἐλευθερίτης. — Herod. V 57: οἱ δὲ Γεφυραῖοι - - ὡς μὲν αὐτοὶ λέγουσι, ἐγεγόνεσαν ἐξ Ἐρετρίης τὴν ἀρχὴν ... et de Tanagra Paus. IX 29, 2: τὸν δὲ Ἑρμῆν λέγουσι τὸν Πρόμαχον Ἐρετριέων ναυσὶν ἐξ Εὐβοίας ἐς τὴν Ταναγραίαν σχόντων τούς τε ἐφήβους ἐξαγαγεῖν ἐπὶ τὴν μάχην καὶ αὐτὸν ἅτε ἔφηβον στλεγγίδι ἀμυνόμενον μάλιστα ἐργάσασθαι τῶν Εὐβοιέων τροπήν. Quae omnia composuit et explanavit v. Wilamowitz *Herm.* XXI 104 *Oropos und die Graier.*

Tyranni saec. VI (?) Arist. Polit. p. 1304 *a* 29: καὶ ἐν Χαλκίδι Φόξον τὸν τύραννον μετὰ τῶν γνωρίμων ὁ δῆμος ἀνελὼν εὐθὺς εἴχετο τῆς πολιτείας. — p. 1316 *a* 30: ἀλλὰ μεταβάλλει καὶ εἰς τυραννίδα τυραννίς καὶ εἰς ὀλιγαρχίαν ὥσπερ ἡ ἐν Χαλκίδι τοῦ Ἀντιλέοντος. — Plut. Sol. 14: ὥσπερ οὐκ ἀρετῇ τοῦ λαβόντος εὐθὺς ἂν βασιλείαν γενομένην, καὶ γεγενημένην πρότερον μὲν Εὐβοεῦσι Τυννώνδαν, νῦν δὲ Μιτυληναίοις Πιττακὸν ᾑρημένοις τύραννον (v. l. Τύνης) cf. Posidipp. ad Hesiod. Oper. 9 (FHG IV 482); Swoboda *Gr. Staatsaltert.* 74. De fonte Aristotelis non constat cf. Endt *Wien. Stud.* XXIV 60 sqq.; Swoboda *Gr. Staatsaltert.* 93.

C. a. 582. Herod. VI 127 (inter procos Agaristae, Clisthenis filiae): ἀπὸ δὲ Ἐρετρίης ἀνθεύσης τοῦτον τὸν χρόνον Λυσανίης· οὗτος δὲ ἀπ' Εὐβοίης μοῦνος.

Pisistratus Athenis pulsus: ἐλθὼν εἰς Ἐρέτριαν ἑνδεκάτῳ πάλιν ἔτει (i. e. anno fere 543/2) τό [τε] πρῶτον ἀνασώσασθαι βίᾳ τὴν ἀρχὴν ἐπεχείρει, συμπροθυμουμένων αὐτῷ πολλῶν μὲν καὶ ἄλλων, μάλιστα δὲ Θηβαίων καὶ Λυγδάμιος τοῦ Ναξίου, ἔτι δὲ τῶν ἱππέων τῶν ἐχόντων ἐν Ἐρετρίᾳ τὴν πολιτείαν — Arist. πολ. Ἀθ. 15, 2 cf. Herod. I 61. 62. Thebanos igitur tum magis Eretriae quam Chalcidi amicos fuisse monent Burrows-Bure *Ann. Br. Sch.* XIV 1907/8, 236. — Falso dicitur Pis. Eretriae uxorem duxisse Coesyram, quae fuit revera filia Megaclis. Cf. Suidas s. v. ἐγκεκοισυρωμένη. ἀντὶ τοῦ περιττῶς κεκοσμημένη, τὰ Κοισύρας φρονοῦσαν. ἔστι δὲ Ἐρετριακὸν τὸ ὄνομα, οὗτοι δὲ εἰς τρυφὴν διαβάλλονται. αὕτη δὲ ἐγαμήθη Πεισιστράτῳ ἐπιχειρήσαντι τυραννεῖν; idem redit Schol. Arist. Nub. 48; cf. Schol. ad v. 46: ὁ πρῶτος οὖν Μεγακλῆς Κοισύρας ἦν υἱὸς ἥτις ἦν ὑπερβαίνουσα γένει καὶ πλούτῳ. ἦν δὲ ἐξ Ἐρετρίας. διὸ καὶ κοισυροῦσθαι τὸ μέγα φρονεῖν, παρ' Ἐρετριεῦσιν.

Saec. VI. Diagoras τὴν ἐν Ἐρετρίᾳ ὀλιγαρχίαν τὴν τῶν ἱππέων κατέλυσεν ἀδικηθεὶς περὶ γάμον. Arist. Polit. p. 1306 *a* 35. Propterea statua ornatus esse videtur teste Heraclide 12; FHG II 217: Διαγόρᾳ εἰς Σπάρτην πορευομένῳ καὶ ἐν Κορίνθῳ τελευτήσαντι Ἐρετριεῖς εἰκόνα ἔστησαν; oligarchiam a Diagora sublatam esse anno fere 506 Heinze *De rebus Eretr.* 26 coniecit, accuratius Geyer I 66 inter a. 539—510. — Eretrienses parti inferiori insulae fortasse etiam Carysto nec non insulis Andro, Teno, Ceo ut antea imperavisse U. de Wilamowitz coniecit *Arist. u. Ath.* II 80 cf. *Ant. v. Kar.* 137, monens Simonidem Ceum (natum 556) primum in honorem victorum Eretriensium carmina composuisse. In bello igitur Chalcidensium contra Athenienses eos a partibus Atheniensium stetisse atque partem praedae i. e. agri Chalcidensis accepisse idem coniecit.

De Thalassocratia Eretriensium (505—491?), cf. Aly *Rhein. Mus.* 1911, 588.

507/6. Herod. V 74: Κλεομένης - - ἐσέβαλε ἐς Ἐλευσῖνα καὶ οἱ Βοιωτοὶ Οἰνόην αἱρέουσι καὶ Ὑσιάς, δήμους τοὺς ἐσχάτους τῆς Ἀττικῆς, Χαλκιδέες τε ἐπὶ τὰ ἕτερα ἐσίνοντο ἐπιόντες χώρους τῆς Ἀττικῆς. — 77: Ἀθηναῖοι τίνυσθαι βουλόμενοι πρῶτα στρατηίην ποιεῦνται ἐπὶ Χαλκιδέας. Βοιωτοὶ δὲ τοῖσι Χαλκιδεῦσι βοηθέουσι ἐπὶ τὸν Εὔριπον. [Ad hoc foedus Chalcidensium cum Boeotis Babelon *Corolla Numism.* 1906, 6; *Traité des monn. grecq.* I² 974 refert tetradrachmos ponderis Euboeici scuto Boeotico ornatos, qui ferunt in altera parte V initium sc. nominis Chalcidensium, in parte postica rotam solitam Chalcidensium.] Ἀθηναίοισι δὲ ἰδοῦσι τοὺς βοηθοὺς ἔδοξε πρότερον τοῖσι Βοιωτοῖσι ἢ τοῖσι Χαλκιδεῦσι ἐπιχειρέειν. συμβάλλουσί τε δὴ τοῖσι Βοιωτοῖσι οἱ Ἀθηναῖοι καὶ πολλῷ ἐκράτησαν - - τῆς δὲ αὐτῆς ταύτης ἡμέρης οἱ Ἀθηναῖοι διαβάντες ἐς τὴν Εὔβοιαν συμβάλλουσι καὶ τοῖσι Χαλκιδεῦσι, νικήσαντες δὲ καὶ τούτους τετρακισχιλίους κληρούχους ἐπὶ τῶν ἱπποβοτέων τῇ χώρῃ λείπουσι. οἱ δὲ ἱπποβόται ἐκαλέοντο οἱ παχέες τῶν Χαλκιδέων. ὅσους δὲ καὶ τούτων ἐζώγρησαν, ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ [ἐν πέδαις] δήσαντες. χρόνῳ δὲ ἔλυσάν σφεας δίμνεως ἀποτιμησάμενοι. τὰς δὲ πέδας αὐτῶν ἐν τῇσι ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν, αἵπερ ἔτι καὶ ἐς ἐμὲ ἦσαν περιεοῦσαι, κρεμάμεναι ἐκ τειχέων περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου, ἀντίον δὲ τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου. καὶ τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χειρὸς ἕστηκε πρῶτα ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλει· ἐπιγέγραπται δέ οἱ τάδε. Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων ... cf. IG I 334. Paus. I 28, 2: καὶ ἅρμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ et Jahn-Michaelis ad l. Diod. X 24, 3: ὅτι Ἀθηναῖοι δεξιῶς τῇ νίκῃ χρησάμενοι, ἐπεὶ νικήσαντες Βοιωτοὺς τε καὶ Χαλκιδέας εὐθὺς ἀπὸ τῆς μάχης Χαλκίδος ἐκυρίευσαν ... Ad hanc pugnam Burrows-Bure *Ann. Br. Sch.* XIV 1907/8, 237 referunt Simonidis verba (Bergk Poet. Lyr. III⁴ 448): Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί, σῆμα δ' ἐφ' ἡμῖν ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται. Iidem cum Myresio *Journ. Hell. stud.* XXVI 96 opinantur classem Eretriensium Chalcidensibus infestam eos impedivisse, ne Euripum transgrederentur.

499 sq. Plut. De Herod. malign. p. 861 *B*: Ἐρετριέων δὲ κομιδῇ μνησθεὶς (sc. Herodotus) ἐν παρέργῳ καὶ παρασιωπήσας μέγα κατόρθωμα καὶ ἀοίδιμον. ἤδη γὰρ ὡς τῶν περὶ τὴν Ἰωνίαν

συγκεχυμένων καὶ στόλου βασιλικοῦ προσπλέοντος ἀπαντήσαντες ἔξω ἐν τῷ Παμφυλίῳ πελάγει κατεναυμάχησαν· εἶτα.. ἐπέθεντο Σάρδεσι καὶ Ἀρταφέρνην ἐπολιόρκουν εἰς τὴν ἀκρόπολιν καταφυγόντα, βουλόμενοι λῦσαι τὴν Μιλήτου πολιορκίαν· καὶ τοῦτο μὲν ἔπραξαν καὶ τοὺς πολεμίους ἀνέστησαν ἐκεῖθεν... ταῦτα δ' ἄλλοι τε καὶ Λυσανίας ὁ Μαλλώτης ἐν τοῖς περὶ Ἐρετρίας εἴρηκε (FHG IV 441). Cf. Herod. V 102: καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι φονεύουσι (in pugna ad Ephesum commissa), ἄλλους τε ὀνομαστούς, ἐν δὲ καὶ Εὐαλκίδην στρατηγέοντα Ἐρετριέων, στεφανηφόρους τε ἀγῶνας ἀναραιρηκότα καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου πολλὰ αἰνεθέντα. Cf. Bergk PLGr. III[4] fr. 9[23].

490. Herod. VI 99: ὡς δὲ περιπλέοντες τὰς νήσους προσέσχον (sc. οἱ βάρβαροι) καὶ ἐς Κάρυστον (οὐ γὰρ δή σφι οἱ Καρύστιοι οὔτε ὁμήρους ἐδίδοσαν οὔτε ἔφασαν ἐπὶ πόλιας ἀστυγείτονας στρατεύσεσθαι, λέγοντες Ἐρέτριάν τε καὶ Ἀθήνας), ἐνθαῦτα τούτους ἐπολιόρκεόν τε καὶ τὴν γῆν σφέων ἔκειρον, ἐς ὃ καὶ οἱ Καρύστιοι παρέστησαν ἐς τῶν Περσέων τὴν γνώμην. — 100: Ἐρετριέες δὲ πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσικὴν ἐπὶ σφέας ἐπιπλέουσαν Ἀθηναίων ἐδεήθησαν σφίσι βοηθοὺς γενέσθαι. Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπικουρίην, ἀλλὰ τοὺς τετρακισχιλίους τοὺς κληρουχέοντας τῶν ἱπποβοτέων Χαλκιδέων τὴν χώρην, τούτους σφι διδοῦσι τιμωρούς. τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν ὑγιὲς βούλευμα. - - - οἱ μὲν γὰρ αὐτῶν ἐβουλεύοντο ἐκλιπεῖν τὴν πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης, ἄλλοι δὲ αὐτῶν, ἴδια κέρδεα προσδεκόμενοι παρὰ τοῦ Πέρσεω οἴσεσθαι, προδοσίην ἐσκευάζοντο. μαθὼν δὲ τούτων ἑκάτερα ὡς εἶχε Αἰσχίνης ὁ Νόθωνος, ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, persuadet Atheniensibus, ut abirent, ne una cum Eretriensibus perirent. — 101: καὶ οὗτοι μὲν διαβάντες ἐς Ὠρωπὸν ἔσῳζον σφέας αὐτούς· οἱ δὲ Πέρσαι πλέοντες κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς χώρας κατὰ Τέμενος καὶ Χοιρέας καὶ Αἰγίλια, κατασχόντες δὲ ἐς ταῦτα τὰ χωρία αὐτίκα ἵππους τε ἐξεβάλλοντο καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι τοῖς ἐχθροῖσιν. οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ μαχέσασθαι οὐκ ἐποιεῦντο βουλήν, εἴ κως δὲ διαφυλάξαιεν τὰ τείχεα, τούτου σφι πέρι ἔμελε, ἐπείτε ἐνίκα μὴ ἐκλιπεῖν τὴν πόλιν. προσβολῆς δὲ γινομένης καρτερῆς πρὸς τὸ τεῖχος ἔπιπτον ἐπὶ ἓξ ἡμέρας πολλοὶ μὲν ἀμφοτέρων· τῇ δὲ ἑβδόμῃ Εὔφορβός [1]) τε ὁ Ἀλκιμάχου καὶ Φίλαγρος ὁ Κυνέω ἄνδρες τῶν ἀστῶν δόκιμοι προδιδοῦσι τοῖς Πέρσῃσι· οἱ δὲ ἐσελθόντες ἐς τὴν πόλιν τοῦτο μὲν τὰ ἱρὰ συλήσαντες ἐνέπρησαν, - - τοῦτο δὲ τοὺς ἀνθρώπους ἠνδραποδίσαντο κατὰ τὰς Δαρείου ἐντολάς. — 102: χειρωσάμενοι δὲ τὴν Ἐρετρικὴν καὶ ἐπισχόντες ὀλίγας ἡμέρας ἔπλεον ἐς τὴν Ἀττικὴν ... — 107: (Ἱππίης).. τὰ ἀνδράποδα τὰ ἐξ Ἐρετρίης ἀπέβησε ἐς τὴν νῆσον τὴν Στυρέων, καλεομένην δὲ Αἰγιλεΐαν. — 119: τοὺς δὲ τῶν Ἐρετριέων ἠνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφρένης, ὡς προσέσχον ἐς τὴν Ἀσίην πλέοντες, ἀνήγαγον ἐς Σοῦσα· βασιλεὺς δὲ Δαρεῖος - - σφέας τῆς Κισσίης χώρης κατοίκισεν ἐν σταθμῷ ἑωυτοῦ τῷ οὔνομά ἐστι Ἀρδέρικκα, ἀπὸ μὲν Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι - - ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσσοντες τὴν ἀρχαίην γλῶσσαν. Cf. Philostr. Vit. Apoll. Tyan. I 24, 1: τρέφει δ' αὐτοὺς λόφος ἐν ὁρίοις τῆς κώμης ὃν ὑπεραίροντα τοῦ παρεφθορότος χωρίου σπείρουσί τε καὶ ἡγοῦνται γῆν. φασὶ δ' ἀκοῦσαι τῶν ἐγχωρίων ὡς ἑπτακόσιοι μὲν τῶν Ἐρετριέων πρὸς τοῖς ὀγδοήκοντα ἥλωσαν, οὔτι που μάχιμοι ὄντες - - τὸ γὰρ πολὺ τῆς Ἐρετρίας τὸν Καφηρέα ἀνέφυγε καὶ ὅτι ἀκρότατον τῆς Εὐβοίας. ἀνήχθησαν ἄνδρες μὲν ἀμφὶ τοὺς τετρακοσίους, γύναια δ' ἴσως δέκα.. λιθοτομίαν δ' αὐτοῖς παρεχομένου τοῦ λόφου καί τινες καὶ λιθουργοὺς εἰδότες τέχνας ἱερά τ' ἐδείμαντο Ἑλληνικὰ καὶ ἀγοράν, ὁπόσην εἰκὸς ἦν, βωμοὺς θ' ἱδρύσαντο Δαρείῳ μὲν δύο, Ξέρξῃ δ' ἕνα, Δαριδαίῳ δὲ πλείους. διετέλεσαν δ' ἐς Δαριδαῖον ἔτη μετὰ τὴν ἅλωσιν ὀκτὼ καὶ ὀγδοήκοντα γράφοντες τὸν Ἑλλήνων τρόπον, καὶ οἱ τάφοι δ' οἱ ἀρχαῖοι σφῶν 'ὁ δεῖνα τοῦ δεῖνος' γεγράφαται, καὶ τὰ γράμματα Ἑλλήνων μὲν ἀλλ' οὔπω ταῦτα ἰδεῖν φασι. καὶ ναῦς ἐγκεχαραγμένας τοῖς τάφοις, ὡς ἕκαστος ἐν Εὐβοίᾳ ἔζη πορθμεύων ἢ πορφυρεύων ἢ θαλάττιον ἢ καὶ ἁλουργὸν πράττων, καί τι καὶ ἐλεγεῖον ἀναγνῶναι γεγραμμένον ἐπὶ ναυτῶν τε καὶ ναυκλήρων σήματι· 'οἵδε ποτ' Αἰγαίοιο βαθύρροον οἶδμα πλέοντες Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ. χαῖρε, κλυτή ποτέ, πατρίς, Ἐρέτρια, χαίρετ' Ἀθῆναι, γείτονες Εὐβοίης, χαῖρε θάλασσα φίλη'. — Plat. Menex. p. 240 *B*: ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν ἐπ' ἄνδρας, οἳ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμώτατοις ἦσαν τὰ πρὸς τὸν πόλεμον καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶ ἡμέραις, διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν, ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν, ὅτι οὐδεὶς σφᾶς ἀποπεφευγὼς εἴη. — Leg. p. 698 *D*: καὶ ὁ Δᾶτις τοὺς μὲν Ἐρετριέας ἔν τινι βραχεῖ χρόνῳ παντάπασι κατὰ κράτος τε εἶλε μυριάσι συχναῖς, - - συνάψαντες γὰρ ἄρα τὰς χεῖρας σαγηνεύσαιεν πᾶσαν τὴν Ἐρετρικὴν οἱ στρατιῶται τοῦ Δάτιδος. — Tota narratio de qua Plato ipse addit ὃς δὴ λόγος εἴτε ἀληθὴς εἴτε καὶ ὅπῃ ἀφίκετο - -, 'ex verbi σαγηνεύειν interpretatione orta est. Hoc verbum nescio quis nuntius adhibuerat'. Hiller.

480. Herod. VIII 1: Οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες ἦσαν οἵδε· Ἀθηναῖοι ... Μεγαρέες δὲ εἴκοσι καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι Ἀθηναίων σφι παρεχόντων τὰς νέας - - Ἐρετριέες δὲ ἑπτά, Στυρέες δὲ δύο. Cf. VIII 46. Chalcidenses igitur post a. 507 classem nondum restituerant, cf. Meyer III § 275. — 23: .. τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου τῶν Ἑλλήνων. οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχέας ἀπέστειλαν προκατοψομένας· ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἐπέπλεε ἁλὴς ἐπὶ τὸ Ἀρτεμίσιον. ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλεον ἐς Ἱστιαίην. ἀπικόμενοι δὲ τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων καὶ τῆς Ἑλλοπίης μοίρης, γῆς δὲ τῆς Ἱστιαιώτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον. — Diod. XI 13: ὁ δὲ τῶν Περσῶν ναύαρχος - - κατῆρεν εἰς τὴν Εὔβοιαν μετὰ παντὸς τοῦ στόλου καὶ τὴν τῶν Ἱστιαιέων πόλιν βίᾳ χειρωσάμενος καὶ διαρπάσας τὴν χώραν αὐτῶν ἐδῄωσεν. — Herod. VIII 112 Themistocles: ἐσπέμπων - - ἀπειλητηρίους λόγους - - συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων τε καὶ Παρίων - - καί τοι Καρυστίοισί γε οὐδὲν τούτου εἵνεκα τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο. — 121: οἱ δὲ Ἕλληνες ἐπείτε οὐκ οἷοί τε ἐγίνοντο ἐξελεῖν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον καὶ δῃώσαντες αὐτῶν τὴν χώρην ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. Cf. VII 214: ἔστι δὲ ἕτερος λόγος ὡς Ὀνήτης τε ὁ Φαναγόρεω ἀνὴρ Καρύστιος καὶ Κορυδαλλὸς Ἀντικυρεὺς εἰσὶ οἱ εἴπαντες πρὸς βασιλέα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ ὄρος τοῖσι Πέρσῃσι. Quod Paus. X 16, 6 tradidit Καρύστιοι οἱ Εὐβοεῖς βοῦν καὶ οὗτοι χαλκοῦν παρὰ τῷ Ἀπόλλωνι ἔστησαν ἀπὸ ἔργου τοῦ Μηδικοῦ cf. Baumeister 66, saec. IV post bellum sacrum factum esse demonstravit Pomtow *Delphica* III 139 not.

Saec. V ineunte. Eretrienses Iovi Olympio taurum dedicabant. (Paus. V 27, 9: Βοῶν δὲ τῶν χαλκῶν ὁ μὲν Κορκυραίων, ὁ δὲ ἀνάθημα Ἐρετριέων, τέχνη δὲ Ἐρετριέως ἐστὶ Φιλησίου) cuius in basi reperta est Φιλέσιος ἐποίε· Ἐρετριε͂ς τοῖ Δί *Inschr. Olymp.* 248 cf. Blümner ad Paus. V 27, 6.

479. Herod. IX 28: Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων τε καὶ Στυρέων ἑξακόσιοι, τούτων δὲ Χαλκιδέες τετρακόσιοι, quocum optime congruit, quod in tripodis aurei ahenea columna nomina Eretriensium, Chalcidensium, Styrensium leguntur cf. Dittenberger Syll.[2] 31, 24—27. Contra in tripode Olympiae dedicato defuisse nomen Eretriensium tradit Paus. V 23, 2 - - ἀπὸ δὲ Εὐβοίας Στυρεῖς, μετὰ δὲ τούτους Ἠλεῖοι καὶ Ποτιδαιᾶται καὶ Ἀνακτόριοι, τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ sed fortasse per errorem cf. Boissevain *Festschrift f. Hirschfeld* 1903, 69 sq.; v. Domaszewski *Neue Heidelb. Jahrb.* I 181 sq.

Post bellum Persicum seditio Orei nobis ceteroquin ignota. Arist. Pol. p. 1303 *b* 31: ὅλως δὲ αἱ τῶν γνωρίμων στάσεις συναπολαύειν ποιοῦσι καὶ τὴν ὅλην πόλιν οἷον ἐν Ἑστιαίᾳ συνέβη μετὰ τὰ Μηδικά, δύο ἀδελφῶν περὶ τῆς πατρῴας νομῆς διενεχθέντων. ὁ μὲν γὰρ ἀπορώτερος, ὡς οὐκ ἀποφαίνοντος τὴν οὐσίαν οὐδὲ τὸν θησαυρὸν ὃν εὗρεν ὁ πατήρ, προσήγετο τοὺς δημοτικούς, ὁ δ' ἕτερος ἔχων οὐσίαν πολλὴν τοὺς εὐπόρους.

C. a. 472. Thuc. I 98: πρὸς δὲ Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Hoc bello in pugna ad Cyrnum facta Hermolycus, Euthoini filius, Atheniensis cecidit et Geraesti sepultus est (Herod. IX 105).

Tributorum laterculi annorum 454/3—426/5 et 425/4 secundum Pedroli *Studi di storia antica* I 1891, 192. 201. Νησιωτικὸς φόρος. cf. novi tituli fragmentum (a. 444 vel 442) editum ab Woodward *Journ. Hell. stud.* XXVIII 1908, 291 sq. Enumerantur civitates Euboeenses hae: Ἀθηνῖται (Ἀθῆναι Διάδες, Ἀθηναῖοι de forma nominis cf. Dittenberger *Herm.* XLI 189) 2000 dr. (449/8—436/5), 4000 dr. (444/3), 1 tal. (425/4). Γρυγχῆς 1000 dr. (454—436/5), 2000 dr. (425/4). Διακρῆς ἀπὸ Χαλκιδέων 800 dr. (437—426), 2000 dr. (425/4). Διάκριοι ἐν Εὐβοίᾳ 1 tal. 2000 dr. (425/4). Διῆς ἀπὸ Κηναίου 1000 dr. (451), 2000 dr. (449—436), 4000 dr.? (425/4). Ἐρετριῆς 15 tal. (425/4), antea 10—7 tal. (?) Ἑστιαιῆς 1000 dr. (450—447/6), 980 dr. (447/6). Καρύστιοι 7 tal. 3000 dr. (454—451), 5 tal. (450—425). Ποσίδειον ἐν Εὐβοίᾳ 100 dr. (425/4). Στυρῆς 1 tal. (450—426/5), 2 tal. (425/4). Χαλκιδῆς 10 tal. (454/3?—447/6), 5 tal. (?) (446—436), 10 tal. (425/4). Quibus addendi essent [Γ]ερ[αίστιοι] 1 tal. 1900 dr. (?) e Busoltii coniectura, qui (Philol. XLI 688, 25) supplevit IG I 257 II vs. 23 = Koehler *Urk. u. Unters.* 60 ΗΔΔ.. [Γ]ερ[αίστιοι], probata a Geyero I 113, quam tamen iure refutavit Pedroli 196, cum Geraestii in alio titulo non enumerentur. — Quod Steph. Byz. Ἀρέθουσα, πόλις Συρίας καὶ

[1]) Cf. Plut. de garrul. p. 510 b Εὐφόρβῳ δὲ καὶ Φιλάγρῳ τοῖς Ἐρέτριαν προδοῦσι χώραν ὁ βασιλεὺς ἔδωκεν.

Θρᾴκης καὶ Εὐβοίας καὶ κρήνη Σικελίας ... τὸ ἐθνικὸν Ἀρεθούσιος testatur, Arethusam non solum fontem notissimum Chalcidensium fuisse, sed etiam urbem Euboeae, comprobari videbatur titulo foederis navalis Attici secundi IG II^{2} 43, ubi vs. 80 inter civitates foederatas leguntur Χαλκιδῆς, Ἐρετριῆς, Ἀρεθόσιοι, Καρύστιοι. Cum autem urbs Arethusa in laterculis prioris foederis Attici nusquam commemoretur, iam Schaefer *De sociis Atheniensium* 1856, 9 coniecerat eam non diu sui iuris fuisse, melius Wilhelm *Att. Urkund.* I (*SB Ak. Wien* CLXV 1911, *Abh.* VI) 27 urbem non esse Euboeae verum Chalcidices collatis tit. Delphicis *Bull. Hell.* XXI 107 Πολυδάμαντι .....ου Ἐρεθουσίωι Μακεδόνι et ibid. p. 106, cf. XXIII 355, 1 Θεοδώρωι .....δίκου Ἀρεθουσίω[ι ἀπὸ Θρ]ᾴκης.

De cleruchis.

453. Diod. XI 88: Τολμίδης ὁ ἕτερος στρατηγὸς εἰς τὴν Εὔβοιαν παρελθὼν ἄλλοις χιλίοις πολίταις *** τὴν τῶν Ναξίων γῆν διένειμε. — Paus. I 27, 5: Τολμίδης - - ἐσήγαγε μὲν ἐς Εὔβοιαν καὶ Νάξον κληρούχους cf. IG XII 5 p. XIII n. 1244. Hos cleruchos Carystum missos esse, cuius tributum a. 451 minuitur, non sine veri specie coniecit Geyer 105, praesertim cum Carystii inter seditionis Euboeicae participes non nominentur.

446. Thuc. I 114: μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπὸ Ἀθηναίων. καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων ἠγγέλθη αὐτῷ ὅτι Μέγαρα ἀφέστηκε - - καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες Περικλέους στρατηγοῦντος κατεστρέψαντο πᾶσαν, καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστήσαντο, Ἑστιαιᾶς δὲ ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον. — Plut. Per. 22: πρῶτον μὲν γὰρ Εὐβοεῖς ἀπέστησαν, ἐφ' οὓς διέβη μετὰ δυνάμεως - -. — 23: αὖθις οὖν ἐπὶ τοὺς ἀφεστῶτας τραπόμενος καὶ διαβὰς εἰς Εὔβοιαν πεντήκοντα ναυσὶ καὶ πεντακισχιλίοις ὁπλίταις κατεστρέψατο τὰς πόλεις. καὶ ... Χαλκιδέων δὲ τοὺς ἱπποβότας λεγομένους πλούτῳ καὶ δόξῃ διαφέροντας ἐξέβαλεν, Ἑστιεῖς δὲ πάντας ἀναστήσας ἐκ τῆς χώρας Ἀθηναίους κατῴκισε, μόνοις τούτοις ἀπαραιτήτως χρησάμενος ὅτι ναῦν Ἀττικὴν αἰχμάλωτον λαβόντες ἀπέκτειναν τοὺς ἄνδρας.

446/5. Diod. XII 7: ἀφίσταντο πολλαὶ τῶν πόλεων ἀπὸ τῶν Ἀθηναίων. μάλιστα δὲ τῶν κατοικούντων τὴν Εὔβοιαν νεωτεριζόντων Περικλῆς αἱρεθεὶς στρατηγὸς ἐστράτευσεν ἐπὶ τὴν Εὔβοιαν μετὰ δυνάμεως ἀξιολόγου, καὶ τὴν μὲν πόλιν τῶν Ἑστιαιέων ἑλὼν κατὰ κράτος ἐξῴκισε τοὺς Ἑστιαιεῖς ἐκ τῆς πατρίδος, τὰς δ' ἄλλας καταπληξάμενος ἠνάγκασε πάλιν πειθαρχεῖν Ἀθηναίοις. Cf. 22, 2 (445/4): κατὰ δὲ τὴν Ἑλλάδα Ἀθηναῖοι τὴν Εὔβοιαν ἀνακτησάμενοι καὶ τοὺς Ἑστιαιεῖς ἐκ τῆς πόλεως ἐκβαλόντες ἰδίαν ἀποικίαν εἰς αὐτὴν ἐξέπεμψαν Περικλέους στρατηγοῦντος, χιλίους δὲ οἰκήτορας ἐκπέμψαντες τήν τε πόλιν καὶ τὴν χώραν κατεκληρούχησαν (cf. Philochor. apud Schol. Aristoph. Nub. 213: Περικλέους δὲ στρατηγοῦντος καταστρέψασθαι αὐτοὺς πᾶσαν φησι Φιλόχορος καὶ τὴν μὲν ἄλλην ἐπὶ ὁμολογίᾳ κατασταθῆναι, Ἑστιαιῶν δὲ ἀποικισθέντων αὐτοὺς τὴν χώραν ἔχειν). — Ael. Var. hist. VI 1, 1: Ἀθηναῖοι κρατήσαντες Χαλκιδέων κατεκληρούχησαν αὐτῶν τὴν γῆν ἐς δισχιλίους κλήρους, τὴν ἱππόβοτον καλουμένην χώραν, τεμένη δὲ ἀνῆκαν τῇ Ἀθηνᾷ ἐν τῷ Ληλάντῳ ὀνομαζομένῳ τόπῳ, τὴν δὲ λοιπὴν ἐμίσθωσαν κατὰ τὰς στήλας τὰς πρὸς τῇ βασιλείῳ στοᾷ ἑστηκυίας, αἵπερ οὖν τὰ τῶν μισθώσεων ὑπομνήματα εἶχον· τοὺς δὲ αἰχμαλώτους ἔδησαν, καὶ οὐδὲ ἐνταῦθα ἔσβεσαν τὸν κατὰ Χαλκιδέων θυμόν. Haec verba gravissima ex optimo fonte petita cum priores putaverint spectare ad primam Atheniensium cleruchiam post a. 506 Chalcidem deductam, Swoboda *Serta Harteliana* 28 sq. optime demonstravit, Aeliani auctorem loqui de posteriore cleruchia a. 446/5 deducta. Apud Herodotum enim (cf. supra) 4000 cleruchos, hic 2000 nominari neque verisimile esse primos cleruchos post pugnam Marathoniam Chalcidem revertisse, praesertim cum Hippobotae a. 446 denuo expulsi sint. Optime comprobatur Swobodae sententia tit. n. 934, siquidem credimus illud Τέμενος Ἀθηναίης esse ex illis quae a. 446 deae offerebantur. Idem Swoboda contra multos auctores, qui Aeliani verba aliter interpretabantur (quos vide apud Geyer 49), hos cleruchos fuisse pseudo-cleruchos evicit, quorum fundi publice locabantur, ut e reditu eorum cleruchis victus suppeditaret. — De rebus cleruchorum Oritanorum agebatur duobus decretis multo mutilis IG I 28. 29 cf. Suppl. p. 12 et v. Wilamowitz *Arist. u. Ath.* I 223, 74. Atque in altero sermo est de itinere Oropi aut Chalcide Histiaeam faciendo, de equis, asinis, ovibus transportandis, in altero de iudiciis cf. 29, 15 [δικάζειν] δὲ τοὺς αὐτοὺς καὶ ἐν Δίωι - 16 [ἐν] Ἑλλοπία[ι] ἕτερον δι[καστήριον -] 17 [Ἑλ]λοπιῶ[ν τῶν] ἐν Ἑλλοπίαι.

445/4. Decretum Atheniensium IG I Suppl. 1, 27*a* (Roberts-Gardner *Introduction to Greek Epigraphy* 1905, 7; Michel 70; Wilhelm *GGA* 1898, 220; Meyer *Forschungen* II 1899, 141 sq.; Dittenberger Syll.^{2} 17; Lehmann-Haupt *in Gercke-Norden, Einl.* III 111 sq.; Nachmanson *Histor. att. Inschr.* n. 9 cf. Bannier *Berl. Phil. Woch.* 1914, 70. 1598) de iureiurando senatus et iudicum Atheniensium, qui pollicentur (vs. 4 sq.) 1. οὐκ ἐξελῶ Χαλκιδέας ἐχ Χαλκίδος οὐδὲ τὴν πόλιν ἀνάστατον ποιήσω 2. οὐδὲ ἰδιώτην οὐδένα ἀτιμώσω οὐδὲ φυγῇ ζημιώσω οὐδὲ ξυλλήψομαι οὐδὲ ἀποκτενῶ οὐδὲ χρήματα ἀφαιρήσομαι ἀκρίτου οὐδενός 3. ἄνευ τοῦ δήμου τοῦ Ἀθηναίων (abhinc senatores soli iurant) 4. οὐδ' ἐπιψηφιῶ κατὰ ἀπροσκλήτου οὔτε κατὰ τοῦ κοινοῦ οὔτε κατὰ ἰδιώτου οὐδ' ἑνὸς καὶ πρεσβείαν ἐλθοῦσαν προσάξω πρὸς βουλὴν καὶ δῆμον δέκα ἡμερῶν ὅταν πρυτανεύω κατὰ τὸ δυνατόν 5. ταῦτα δὲ ἐμπεδώσω Χαλκιδεῦσιν πειθομένοις τῷ δήμῳ τῷ Ἀθηναίων. Sequitur vs. 21 sq. iusiurandum quod praestare debent πρεσβεία ἐλθοῦσα ἐχ Χαλκίδος μετὰ τῶν ὁρκωτῶν et omnes adulti Chalcidenses, quorum omnium catalogus nobis quidem non servatus, factus est (18. καὶ ἀπογράψαι τοὺς ὀμόσαντας 36. ὁρκῶσαι δὲ πρεσβείαν Ἀθηναίων ἐλθοῦσαν ἐς Χαλκίδα μετὰ τῶν ὁρκωτῶν τῶν ἐν Χαλκίδι καὶ ἀπογράψαι τοὺς ὀμόσαντας Χαλκιδέων). De tributo quotannis pendendo sancitur in iureiurando (25 sq.) καὶ τὸν φόρον ὑποτελῶ Ἀθηναίοισιν ὃν ἂν πείθω Ἀθηναίους. Magistratus Chalcidensium omnes cives ad iusiurandum dandum adigere debent (32 sq.) ὃς δ' ἂμ μὴ ὀμόσῃ, ἄτιμον αὐτὸν εἶναι· καὶ τὰ χρήματα αὐτοῦ δημόσια καὶ τοῦ Διὸς τοῦ Ὀλυμπίου (sc. Chalcidensium in cuius templo stela collocabatur cf. vs. 61: ἐν δὲ Χαλκίδι ἐν τῶι ἱερῶι τοῦ Διὸς τοῦ Ὀλυμπίου ἡ βουλὴ Χαλκιδέων ἀναγράψασα καταθέτω) τὸ ἐπιδέκατον ἱερὸ[ν] ἔστω τῶν χρημάτων. In decreto additicio sancitur (vs. 41 sq.) ποεῖσθαι τὸν ὅρκον Ἀθηναίους καὶ Χαλκιδέας καθάπερ Ἐρετριεῦσι ἐψηφίσατο ὁ δῆμος ὁ Ἀθηναίων, quod ad simile decretum Eretriensibus factum provocat. De obsidibus autem restituendis sancitur (47 sq.): περὶ δὲ τῶν ὁμήρων ἀποκρίνασθαι Χαλκιδεῦσιν, ὅτι νῦμ μὲν Ἀθηναίοις δοκεῖ ἐᾶν κατὰ τὰ ἐψηφισμένα, ὅταν δὲ δοκῇ, βουλευσάμενοι ποιήσουσι τὴν διαλλαγήν, καθότι ἂν δοκῇ ἐπιτήδειον εἶναι Ἀθηναίοις καὶ Χαλκιδεῦσιν, postremo loco de peregrinis (vs. 53 sq.): τοὺς δὲ ξένους τοὺς ἐν Χαλκίδι, ὅσοι οἰκοῦντες μὴ τελοῦσιν Ἀθήναζε καὶ εἴ τῳ δέδοται ὑπὸ τοῦ δήμου τοῦ Ἀθηναίων ἀτέλεια, τοὺς δὲ ἄλλους τελεῖν ἐς Χαλκίδα καθάπερ οἱ ἄλλοι Χαλκιδέες. De singulis his rebus, quae magis ad res sociorum Atheniensium pertinent, vide interpretes. Idem valet de decreto additicio secundo 70 sq.: τὰ μὲν ἄλλα καθάπερ Ἀντικλῆς, τὰς δὲ εὐθύνας Χαλκιδεῦσι κατὰ σφῶν αὐτῶν εἶναι ἐν Χαλκίδι καθάπερ Ἀθήνησιν Ἀθηναίοις πλὴν φυγῆς καὶ θανάτου καὶ ἀτιμίας· περὶ δὲ τούτων ἔφεσιν εἶναι Ἀθήναζε ἐς τὴν ἡλιαίαν τὴν τῶν θεσμοθετῶν κατὰ τὸ ψήφισμα τοῦ δήμου. περὶ δὲ φυλακῆς Εὐβοίας τοὺς στρατηγοὺς ἐπιμελεῖσθαι ὡς ἂν δύνωνται ἄριστα, ὅπως ἂν ἔχει ὡς βέλτιστα Ἀθηναίοις. Cf. praeterea vs. 65 sq.: τὰ ἱερὰ τὰ ἐκ τῶν χρησμῶν ὑπὲρ Εὐβοίας θῦσαι ὡς τάχιστα μετὰ Ἱεροκλέους τρεῖς ἄνδρας οὓς ἂν ἕληται ἡ βουλὴ σφῶν αὐτῶν - -.

445—442. Euboeae seditio complures annos ab Atheniensibus opprimitur; Eretrienses contra Athenienses bellum gerunt cf. v. Wilamowitz *Herm.* XX 481.

442/1. Euboea pacata cleruchos etiam Eretriam missos esse titulus probat IG I 339 (Dittenberger Syll.^{2} 18; Roberts-Gardner *Introduction to Greek Epigraphy* II 1905, 185) τὲς ἀποι[κίας] τὲς ἐς Ἐρ[έτριαν] cf. Geyer 71. — Paroem. Gr. II 168 (Macar. IV 16): Ἐρετρικὸς κατάλογος: ἐπὶ τῶν σφόδρα πλουσίων. — Phot. s. Ἐρετριακὸς κατάλογος: ἐπὶ Διφίλου ἄρχοντος ἔγραψαν ψήφισμα τοὺς ὁμήρους καταλέξαι ἐξ Ἐρετριακῶν πλουσιωτάτων. — Hesych. s. Ἐρετριακὸς κατάλογος: ἐπὶ Διφίλου ψήφισμα ἐξ Ἐρετρίας ἐγράφη καταλέξαι ὁμήρους τοὺς τῶν πλουσιωτάτων υἱούς. τοῦτο οὖν τὸ ψήφισμα ἔχει ἐπιγραφὴν „Ἐρετριακὸς κατάλογος." Cf. v. Wilamowitz *Aus Kydathen* 73. Anno igitur 442/1 denuo obsides ab Eretriensibus acti sunt. Ab hoc tempore Εὐβοίας πλέον ἢ τὰ δύο μέρη in potestate Atheniensium erant teste Andocide or. III 9, cf. Isocr. Panegyr. 108: ὑποκειμένης τῆς Εὐβοίας ὑπὸ τὴν Ἀττικήν, ἣ καὶ πρὸς τὴν ἀρχὴν τὴν τῆς θαλάσσης εὐφυῶς εἶχε καὶ τὴν ἄλλην ἀρετὴν ἁπασῶν τῶν νήσων διέφερε, κρατοῦντες αὐτῆς μᾶλλον ἢ τῆς ἡμετέρας αὐτῶν. — IG I suppl. 116*b* *berichtet von einem merkwürdigen Prozess, den die Stadt Eretria durch eine Gesandtschaft in Athen anhängig machte* secundum Wilhelmum *Jahresh. Beibl.* I 44.

445—411. Nummi urbium Euboeensium prorsus deficere videntur, quod optime congruit cum eo quod Weil *Z. Numism.* XXV, 52 sq. comprobavit, sc. Athenienses urbibus suis dediticiis non permisisse, ut nummos sui iuris cuderent cf. Append. I.

437. Eretria peste vastata cf. *Zosim.* XL 99.

431. Thuc. II 32: ἐτειχίσθη δὲ καὶ Ἀταλάντη ὑπὸ Ἀθηναίων φρούριον - - ἡ ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις νῆσος, ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακουργεῖν τὴν Εὔβοιαν. Initio belli Peloponnesiaci Phormio Chalcidem opprimit et vexat cf. Polyaen III 4, 1 (fidei suspectae).

Initio belli Peloponn. (?) Dem. 20, 115: ὅτι Λυσιμάχῳ δωρειάν, ἑνὶ τῶν τότε χρησίμων, ἑκατὸν μὲν ἐν Εὐβοίᾳ πλέθρα γῆς πεφυτευ-

μένης ἔδοσαν, ἑκατὸν δὲ ψιλῆς, ἔτι δ' ἀργυρίου μνᾶς ἑκατόν, καὶ τέτταρας τῆς ἡμέρας δραχμάς. καὶ τούτων ψήφισμ' ἔστ' Ἀλκιβιάδου, ἐν ᾧ ταῦτα γέγραπται. Cf. Plut. Arist. 27.

427. Thuc. III 89: καὶ περὶ τούτους τοὺς χρόνους, τῶν σεισμῶν κατεχόντων, τῆς Εὐβοίας ἐν Ὀροβίαις ἡ θάλασσα ἐπανελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς καὶ κυματωθεῖσα ἐπῆλθε τῆς πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε, τὸ δ' ὑπενόστησε, καὶ θάλασσα νῦν ἐστι πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. De eodem terrae motu tradidit Demetr. Calat. apud Strab. I p. 60: - - τῶν τε Λιχάδων νήσων καὶ τοῦ Κηναίου τὰ πολλὰ καταδῦναί φησιν, τά τε θερμὰ τὰ ἐν Αἰδηψῷ καὶ Θερμοπύλαις ἐπὶ τρεῖς ἡμέρας ἐπισχεθέντα πάλιν ῥυῆναι, τὰ δ' ἐν Αἰδηψῷ καὶ καθ' ἑτέρας ἀναρραγῆναι πηγάς· Ὠρεοῦ δὲ τὸ πρὸς θαλάττῃ τεῖχος καὶ τῶν οἰκιῶν περὶ ἑπτακοσίας συμπεσεῖν. Cf. Georgiades Περὶ σεισμῶν καὶ κατασκευῆς ἀντισεισμικῶν οἰκοδομημάτων *Athen* 1904, 186.

426. Thuc. III 87, 4: ἐγένοντο δὲ καὶ οἱ πολλοὶ σεισμοὶ τότε τῆς γῆς ἔν τε Ἀθήναις καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Βοιωτοῖς καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

424. Expeditio Atheniensium in Euboeam facta teste Philochoro apud Schol. Arist. Vesp. 718: τὰ περὶ τὴν Εὔβοιαν δύναται καὶ αὐτὰ συνᾴδειν ταῖς διδασκαλίαις. πέρυσι γὰρ ἐπὶ ἄρχοντος Ἰσάρχου ἐστράτευσαν ἐπ' αὐτὴν ὡς Φιλόχορος (fr. 89). In animo fuisse tum Atheniensibus agros insulae inter se partiri frumentumque civibus distribuere ex Aristophanis versibus Vesp. 715 sq.: τὴν Εὔβοιαν διδόασιν ὑμῖν καὶ σῖτον ὑφίστανται κατὰ πεντήκοντα μεδίμνους ποριεῖν· ἔδοσαν δ' οὐπώποτέ σοι, πλὴν πρῴην πέντε μεδίμνους optime conclusit Gernet *L'approvisionnement d'Athènes en blé. Bibl. de la Faculté des Lettres* XXV 1909, 349, cf. 308.

415. Thuc. VII 57: Ἀθηναῖοι μὲν αὐτοὶ Ἴωνες ἐπὶ Δωριᾶς Συρακοσίους ἑκόντες ἦλθον καὶ αὐτοῖς τῇ αὐτῇ φωνῇ καὶ νομίμοις ἔτι χρώμενοι - - καὶ ἔτι Ἑστιαιῆς οἱ ἐν Εὐβοίᾳ [Ἑστίαιαν οἰκοῦντες], ἄποικοι ὄντες ξυνεστράτευσαν - - καὶ τῶν μὲν ὑπηκόων καὶ φόρου ὑποτελῶν Ἐρετριῆς καὶ Χαλκιδῆς καὶ Στυρῆς καὶ Καρύστιοι ἀπ' Εὐβοίας ἦσαν - -.

Post Deceleam captam. Thuc. VII 28: ἥ τε τῶν ἐπιτηδείων παρακομιδὴ ἐκ τῆς Εὐβοίας πρότερον ἐκ τοῦ Ὠρωποῦ κατὰ γῆν διὰ τῆς Δεκελείας θάσσων οὖσα, περὶ Σούνιον κατὰ θάλασσαν πολυτελὴς ἐγίγνετο. — Thuc. VIII 4: καὶ Σούνιον τειχίσαντες, ὅπως αὐτοῖς ἀσφάλεια ταῖς σιταγωγοῖς ναυσὶν εἴη τοῦ περίπλου.

Ante a. 413. Euboensibus ἐπιγαμία ab Atheniensibus concessa est teste Lysia 34, 3 οὐχ ὅπως Ἀθηναίων τινα ἀπώσομεν διενοούμεθα, ἀλλὰ καὶ Εὐβοεῦσιν ἐπιγαμίαν ἐποιούμεθα.

414/3. Thuc. VIII 29: - - προστάξαντες κομίσαι αὐτοὺς (τοὺς Θρᾷκας τοὺς τῷ Δημοσθένει ὑστερήσαντας) Διειτρέφει καὶ εἰπόντες ἅμα ἐν τῷ παράπλῳ (ἐπορεύοντο γαρ δι' Εὐρίπου) καὶ τοὺς πολεμίους, ἥν τι δύνηται, ἀπ' αὐτῶν βλάψαι. ὁ δὲ ... καὶ ἐκ Χαλκίδος τῆς Εὐβοίας ἀφ' ἑσπέρας διέπλευσε τὸν Εὔριπον καὶ - - ἦγεν αὐτοὺς ἐπὶ Μυκαλησσόν.

413. Thuc. VIII 5: πρῶτοι Εὐβοῆς ὡς Ἆγιν περὶ ἀποστάσεως τῶν Ἀθηναίων ἐπρεσβεύσαντο ἐν τῷ χειμῶνι τούτῳ. ὁ δὲ προσδεξάμενος τοὺς λόγους αὐτῶν μεταπέμπεται ἐκ Λακεδαίμονος Ἀλκαμένη τὸν Σθενελαΐδου καὶ Μέλανθον ἄρχοντας ὡς ἐς τὴν Εὔβοιαν. — Post cladem Siculam: ἐδόκει χρῆναι μὴ ἐνδιδόναι καὶ τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι, καὶ μάλιστα τὴν Εὔβοιαν - - Thuc. VIII 1, 3.

411. Thuc. VIII 91, 2: ἅμα γὰρ καὶ ἐκ τῆς Πελοποννήσου ἐτύγχανον Εὐβοέων ἐπικαλουμένων κατὰ τὸν αὐτὸν χρόνον τοῦτον δύο καὶ τεσσαράκοντα νῆες, ὧν ἦσαν καὶ ἐκ Τάραντος καὶ Λοκρῶν Ἰταλιώτιδες καὶ Σικελικαί τινες, ὁρμοῦσαι ἤδη ἐπὶ Λᾷ τῆς Λακωνικῆς καὶ παρασκευαζόμεναι τὸν ἐς τὴν Εὔβοιαν πλοῦν (ἦρχε δ' αὐτῶν Ἡγησανδρίδας Ἡγησάνδρου Σπαρτιάτης). Navi Tarentinae praefuisse videtur Hegelochus, qui tit. 187 *A* proxenia donatur ὡς συνελευθερώρας τὴν πόλιν ἀπ' Ἀθηνάων.

411/10. Diod. XIII 47: Χαλκιδεῖς δὲ καὶ σχεδὸν οἱ λοιποὶ πάντες οἱ τὴν Εὔβοιαν κατοικοῦντες ἀφεστηκότες ἦσαν Ἀθηναίων καὶ διὰ τοῦτο περιδεεῖς ἐγίνοντο, μήποτε νῆσον οἰκοῦντες ἐκπολιορκηθῶσιν ὑπ' Ἀθηναίων θαλασσοκρατούντων. ἠξίουν οὖν Βοιωτοὺς κοινῇ χῶσαι τὸν Εὔριπον, ὥστε συνάψαι τὴν Εὔβοιαν τῇ Βοιωτίᾳ. συγκαταθεμένων δὲ τῶν Βοιωτῶν - - αἱ πόλεις ἅπασαι πρὸς τὴν διάχωσιν ἐπερρώσθησαν καὶ πρὸς ἀλλήλας ἡμιλλῶντο. οὐ γὰρ μόνον τοῖς πολίταις ἐξιέναι πανδημεὶ προσέταξαν, ἀλλὰ καὶ τοῖς παροικοῦσι ξένοις. - - τῆς μὲν οὖν Εὐβοίας κατεσκευάσθη τὸ χῶμα κατὰ τὴν Χαλκίδα, τῆς δὲ Βοιωτίας πλησίον Αὐλίδος - - ὁ γὰρ διέκπλους ἀπελείφθη μιᾷ νηί. ᾠκοδόμησαν δὲ καὶ πύργους ὑψηλοὺς ἐπ' ἀμφοτέρων τῶν ἄκρων, καὶ ξυλίνας τοῖς διάρροις ἐπέστησαν γεφύρας. Θηραμένης δ' ὑπ' Ἀθηναίων ἀποσταλεὶς μετὰ νεῶν τριάκοντα τὸ μὲν πρῶτον ἐπεχείρησε κωλύειν τοὺς ἐπὶ τῶν ἔργων, πολλοῦ δὲ πλήθους στρατιωτῶν συμπαρόντος τοῖς κατασκευάζουσι τὰ χώματα ταύτης μὲν τῆς ἐπιβολῆς ἀπέστη.

411. Quadringentos Athenienses adiuvant milites Ἄνδριοι καὶ Τήνιοι καὶ Καρυστίων τριακόσιοι - - Thuc. VIII 69. — Thuc. VIII 95: Ἀθηναῖοι δὲ ... περὶ τοῦ μεγίστου ἐν τάχει βουλόμενοι βοηθῆσαι (Εὔβοια γὰρ αὐτοῖς ἀποκεκλῃμένης τῆς Ἀττικῆς πάντα ἦν)[1] πέμπουσι Θυμοχάρην στρατηγὸν καὶ ναῦς ἐς Ἐρέτριαν. ὧν ἀφικομένων ξὺν ταῖς πρότερον ἐν Εὐβοίᾳ οὔσαις ἓξ καὶ τριάκοντα ἐγένοντο. καὶ εὐθὺς ναυμαχεῖν ἠναγκάζοντο· ὁ γὰρ Ἡγησανδρίδας ἀριστοποιησάμενος ἐκ τοῦ Ὠρωποῦ ἀνήγαγε τᾶς ναῦς ... ὡς οὖν ἐπέπλει, εὐθὺς ἐπλήρουν καὶ οἱ Ἀθηναῖοι τὰς ναῦς, οἰόμενοι σφίσι παρὰ ταῖς ναυσὶ τοὺς στρατιώτας εἶναι· οἱ δ' ἔτυχον οὐκ ἐκ τῆς ἀγορᾶς ἄριστον ἐπισιτιζόμενοι (οὐδὲν γὰρ ἐπωλεῖτο ἀπὸ προνοίας τῶν Ἐρετριῶν) ἀλλ' ἐκ τῶν ἐπ' ἔσχατα τοῦ ἄστεως οἰκιῶν, ὅπως σχολῇ πληρουμένων φθάσειαν οἱ πολέμιοι προσπεσόντες καὶ ἐξαναγκάσειαν τοὺς Ἀθηναίους οὕτως ὅπως τύχοιεν ἀνάγεσθαι. σημεῖον δ' αὐτοῖς ἐς τὸν Ὠρωπὸν ἐκ τῆς Ἐρετρίας, ὁπότε χρὴ ἀνάγεσθαι, ἤρθη. διὰ τοιαύτης δὴ παρασκευῆς οἱ Ἀθηναῖοι ἀναγαγόμενοι καὶ ναυμαχήσαντες ὑπὲρ τοῦ λιμένος τῶν Ἐρετριῶν ὀλίγον μέν τινα χρόνον ὅμως καὶ ἀντέσχον, ἔπειτα ἐς φυγὴν τραπόμενοι καταδιώκονται ἐς τὴν γῆν. καὶ ὅσοι μὲν αὐτῶν πρὸς τὴν πόλιν τῶν Ἐρετριῶν ὡς φιλίαν καταφεύγουσι, χαλεπώτατα ἔπραξαν φονευόμενοι ὑπ' αὐτῶν· οἱ δὲ ἐς τὸ τείχισμα τὸ ἐν τῇ Ἐρετρίᾳ, ὃ εἶχον αὐτοί, περιγίγνονται καὶ ὅσαι ἐς Χαλκίδα ἀφικνοῦνται τῶν νεῶν. λαβόντες δὲ οἱ Πελοποννήσιοι δύο καὶ εἴκοσι ναῦς τῶν Ἀθηναίων καὶ ἄνδρας τοὺς μὲν ἀποκτείναντες τοὺς δὲ ζωγρήσαντες τροπαῖον ἔστησαν. καὶ ὕστερον οὐ πολλῷ Εὔβοιάν τε, ἅπασαν ἀποστήσαντες πλὴν Ὠρεοῦ (ταύτην δὲ αὐτοὶ Ἀθηναῖοι εἶχον) καὶ τἆλλα τὰ περὶ αὐτὴν καθίσταντο.

411. Lys. 20, 14: ὀκτὼ ἡμέρας εἰσελθὼν εἰς τὸ βουλευτήριον ἐξέπλει (sc. Polystratus) εἰς Ἐρέτριαν καὶ ἐδόκει ἐκεῖ τὴν ψυχὴν οὐ πονηρὸς εἶναι ἐν ταῖς ναυμαχίαις καὶ τετρωμένος δεῦρ' ἦλθε. Cf. Kahrstedt *Forsch. z. Gesch. d. 5. u. 4. Jahrh.* 256—259.

410/09. Εὐκλείδης στρατηγὸς ἐξ Ἐρετρίας hieme media cum classe missus est IG I 188, 15 (Dittenberger Syll.[2] 51).

Inter a. 410—390. Foedus Eretriensium et Histiaeensium supra n. 188.

Pythophanes Carystius, proxenus Atheniensium, mercator dives, cuius χρήματα, navis, ἐμπολήματα commemorantur, asylia donatur primum ante a. 404/3, quod decretum renovatur a. 399/8 IG II[2] 1, 1, 12.

Post a. 404. Xen. Hell. II 2, 9: Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε τὴν πόλιν Αἰγινήταις - - ὡς δ' αὔτως καὶ Μηλίοις καὶ τοῖς ἄλλοις ὅσοι τῆς αὐτῶν ἐστέροντο, inter quas urbes Oreum nec non Chalcidem et Eretriam fuisse certum est, quamquam ne a Plutarcho quidem Lys. 14 nominatim adferuntur (cf. Beloch *Gr. Gesch.* II 113). — Inter Lysandri nauarchos nominantur in monumento Delphico pugnae apud Aigos flumen commissae (*'Lysanderhalle'* cf. Pomtow *Delphica* III 165 sq.): Ἀριστοκλῆς Καρύστιος et Αὐτόνομος Ἐρετριεύς a Paus. X 9, 10. Atque exstat Delphis basis statuae inscripta Αὐτόνομος | Σαμίου | Ἐρετριεύς *Fouilles de Delphes* III 1, n. 61 (Dittenb. Syll.[3] 115 VII).

403. Multi Athenienses Chalcidem fugerunt teste Lysia 24, 25 ἀλλὰ μετὰ τοῦ ὑμετέρου πλήθους ἔφυγον εἰς Χαλκίδα τὴν ἐπ' Εὐρίπῳ.

396. Xen. Hell. III 4, 4: ἀφικόμενος δὲ ἐπὶ Γεραιστὸν (sc. Agesilaus) καὶ συλλέξας ἐκεῖ ὅσον ἐδύνατο τοῦ στρατεύματος πλεῖστον εἰς Ἔφεσον τὸν στόλον ἐποιεῖτο. Cf. Plut. Ages. 6.

395/4. εὐθὺς γὰρ αὐτοῖς (sc. Βοιωτοῖς, Ἀθηναίοις, Κορινθίοις, Ἀργείοις) ἥ τε Εὔβοια ἅπασα προσέθετο Diod. XIV 82 (cf. Xen. Hell. IV 2, 17 ἱππεῖς δὲ Βοιωτῶν - - Ἀθηναίων - - καὶ Χαλκιδέων τῶν ἐξ Εὐβοίας εἰς ἑκατόν).

394/3. συμμαχία Ἐρετριέων καὶ Ἀθηναίων IG II[2] 16. Euboeenses pugnae apud Coroneam contra Agesilaum commissae intersunt Xen. Hell. IV 3, 15.

378/7. Novum foedus Atticum primi sequebantur αἱ κατὰ τὴν Εὔβοιαν οἰκοῦσαι (sc. πόλεις) χωρὶς Ἑστιαίας teste Diod. XV 30, atque leguntur in catalogo civitatum tabulae societatis maritimae IG II[2] 43, 80 sq. Χαλκιδῆς, Ἐρετριῆς, Ἀρεθόσιοι, Καρύστιοι. Fortasse tum Euboeenses coronam Athenas miserunt inscriptam Εὐβοεῖς ἐλευθερωθέντες ἐστεφάνωσαν τὸν δᾶμον Demosth. 22, 72. 24, 180. Συμμαχία autem quam Chalcidenses tum post septimam prytaniam cum Atheniensibus inierunt exstat adhuc IG II[2] 44 leguntur que in ea condiciones στῆσαι - - ἐν [δὲ Χαλ]κίδι ἐν τῷ ἱερῶι τῆς Ἀθηναίας τ[ὸν ὅρκο]ν καὶ [τὰς σ]υνθήκας ... ἔχειν τὴ]ν ἑαυτῶν Χαλκιδέ[ας ἐλευθέρ]ος ὄντα[ς καὶ] αὐτονόμος καὶ ... μήτε φρορὰν ὑποδεχομένος [παρ' Ἀθηναίων μ]ήτε φόρον φέροντας μήτε [ἄρχοντα παραδ]εχομένος παρὰ τὰ δόγματ[α τῶν συμμάχων - -].

[1] Cf. Arist. Ἀθ. πολ. 33 πλείω γὰρ ἐκ τῆς Εὐβοίας ἢ τῆς Ἀττικῆς ἐτύγχανον ὠφελούμενοι. Cf. imprimis Gernet *L'approvisionnement d'Athènes en blé au V et au IV siècle. Bibl. de la faculté des Lettres* XXV 1909, 309.

77/6. Chabrias (et non Timotheus cf. Busolt *Fleck. Jahrb.* Suppl. VII 744; PA II 315) primum quidem ἐπόρθησε τὴν Ἑστιαιῶτιν χώραν Diod. XV 30 neque tamen urbem cepit. Idem postquam Peparethios, Sciathios, Maronitas foederi adiunxit, rediens etiam Διάς Euboeae nec non Ἀθηνίτας conciliasse videtur teste tabula foederis.

77(?) Heracleodorus oligarchiam Orei delevit teste Arist. Polit. p. 1303*a* 18: ὥσπερ ἐν Ὠρεῷ κατελύθη ἡ ὀλιγαρχία τῶν ἀρχόντων γενομένου Ἡρακλεοδώρου ὃς ἐξ ὀλιγαρχίας πολιτείαν καὶ δημοκρατίαν κατεσκεύασεν. Cf. Newman *Politics of Aristotle* IV 307, 8 qui dicit hoc factum esse a. 377 (cf. Woodward *Journ. Hell. stud.* XXVIII 1908, 306.) Idem fortasse IG II² 149, 7.

nte a. 379. Diod. XV 30: κατὰ δὲ τὴν Εὔβοιαν βραχὺ μὲν πρὸ τούτων τῶν χρόνων (sc. 377/6) Νεογένης τις ὄνομα μετ' Ἰάσονος τοῦ Φεραίου συλλέξας στρατιώτας κατελάβετο τήν τε ἀκρόπολιν τῶν Ἑστιαιέων καὶ τύραννον ἑαυτὸν ἀπέδειξε ταύτης τῆς χώρας καὶ τῆς τῶν Ὠρειτῶν πόλεως. ἄρχοντος δ' αὐτοῦ βιαίως καὶ ὑπερηφάνως Λακεδαιμόνιοι Θηριππίδαν ἀπέστειλαν ἐπ' αὐτόν. ὁ δὲ τὸ μὲν πρῶτον ἐπεχείρει λόγοις τὸν τύραννον ἐκχωρεῖν ἐκ τῆς ἀκροπόλεως· ὡς δ' οὐ προσεῖχε, παρακαλέσας τοὺς ἐγχωρίους πρὸς τὴν ἐλευθερίαν ἐξεπολιόρκησε τὸ χωρίον καὶ τοῖς Ὠρείταις τὴν ἐλευθερίαν ἀποκατέστησεν, δι' ἣν αἰτίαν οἱ τὴν Ἑστιαιέων καλουμένην χώραν οἰκοῦντες οἰκείως διετέθησαν πρὸς τοὺς Σπαρτιάτας, καὶ βεβαίως ἐτήρουν τὴν φιλίαν. τῆς δ' ὑπὸ τῶν Ἀθηναίων ἐκπεμφθείσης δυνάμεως ἡγούμενος Χαβρίας ἐπόρθησε τὴν Ἑστιαιῶτιν χώραν, καὶ τὴν καλουμένην μὲν Μητρόπολιν, κειμένην δ' ἐπί τινος ἐρυμνοῦ λόφου τειχίσας ἀπέλιπεν ἐν αὐτῇ φρουράν ... Cf. Meyer V § 892. 931. Eodem tempore, certe ante pugnam Leuctricam, Aristodemus harmosta a Spartanis Oreum missus est cf. Plut. Amat. narrat p. 773 *E* sq.: γενόμενος δ' ἐν τῇ Ἀργολικῇ - - εἰς πανδοκεῖόν τι κατήχθη κατὰ τὸ αὐτὸ δὲ καὶ πρεσβύτης τις ἕτερος τὸ γένος ἐξ Ὠρεοῦ πόλεως τῆς Ἑστιαιώτιδος ... ὁ δὲ διηγεῖτο. πεμφθεὶς εἰς Ὠρεὸν Ἀριστόδημος ἁρμοστὴς παρὰ Λακεδαιμονίων ὠμότητα καὶ παρανομίαν ἐπιδείξαιτο πολλήν· 'ἐρασθεὶς γάρ, ἔφη, τοῦ ἐμοῦ παιδός, ἐπειδὴ πείθειν ἀδύνατος ἦν, ἐπεχείρει βιάσασθαι καὶ ἀπάγειν αὐτὸν τῆς παλαίστρας· κωλύοντος δὲ τοῦ παιδοτρίβου καὶ νεανίσκων πολλῶν ἐκβοηθούντων, παραχρῆμα ὁ Ἀριστόδημος ἀπεχώρησε· τῇ δ' ὑστεραίᾳ πληρώσας τριήρη συνήρπασε τὸ μειράκιον καὶ ἐξ Ὠρεοῦ διαπλεύσας εἰς τὴν περαίαν ἐπεχείρει ὑβρίσαι, οὐ συγχωροῦντα δ' αὐτὸν ἀπέσφαξεν. ἐπανελθὼν δ' εἰς τὴν Ὠρεὸν εὐωχεῖτο. — Xen. Hell. V 4, 56: Ἀλκέτας ὁ Λακεδαιμόνιος φυλάττων Ὠρεὸν oppressit cum tribus triremibus duas naves Thebanorum, qui Pagasis frumentum coemerant et captivos 300 εἷρξεν ἐν τῇ ἀκροπόλει οὗπερ αὐτὸς ἐσκήνου. qui tamen male custoditi arce occupata urbem a Lacedaemoniis liberaverunt cf. etiam Polyaen. 2, 7. — Ex omnibus his discordiis intestinis facile intellegitur, cur Carystii inter debitores Apollinis Delii (377/4), qui per quadriennium usuras non pependerint, enumerati sint IG II 817, 119 (Dittenberger Syll.² 86) Καρύστιοι Τ Χ Χ Η Η Η Η.

73. Hestiaeenses in foedus Atheniensium recepti esse videntur IG II² 43 *B* 18 cf. Dittenberger Syll.² 80 not. 43.

71. Post victoriam Leuctricam Euboeenses partes Thebanorum secuti sunt cf. Xen. Hell. VI 5, 23; Ages. 2, 24 atque his fere annis Carystii ab hominibus Thebanis pecunias mutuo acceperunt cf. tit. n. 7.

66/5. ἐπὶ δὲ τούτων Θεμίσων ὁ Ἐρετρίας τύραννος Ὠρωπὸν κατελάβετο· ταύτην δὲ τὴν πόλιν οὖσαν Ἀθηναίων παραλόγως ἀπέβαλεν· τῶν γὰρ Ἀθηναίων στρατευσάντων ἐπ' αὐτὸν καὶ πολὺ ταῖς δυνάμεσι ὑπερεχόντων, οἱ Θηβαῖοι βοηθήσαντες αὐτῷ καὶ παραλαβόντες ἐν παρακαταθήκῃ τὴν πόλιν οὐκ ἀπέδωκαν Diod. XV 76; ἐπολεμήσατε Ἐρετριεῦσι καὶ Θεμίσωνι καὶ πάλιν ἐσώσατε Aeschin. 2, 164. 3, 85: καὶ πάλιν ὑπὸ Θεμίσωνος τοῦ Ἐρετριέως (sc. ἠδικημένοι) ὃς ἡμῶν εἰρήνης οὔσης Ὠρωπὸν ἀφείλετο, τούτων ἑκόντες ἐπιλαθόμενοι. — ἀλλὰ πάλιν σφετεριζομένων Θηβαίων τὴν Εὔβοιαν οὐ περιείδετε οὐδ' ὧν ὑπὸ Θεμίσωνος καὶ Θεοδώρου περὶ Ὠρωπὸν ἠδίκησθ' ἀνεμνήσθητε, ἀλλ' ἐβοηθήσατε καὶ τούτοις Dem. 18, 99, cf. Schol. ad h. l.

62. In pugna apud Mantineam commissa copiae Euboeenses, qui partes Thebanorum secuti erant, ab Atheniensibus vincuntur cf. Diod. XV 85. 87.

nte a. 351. Philippus: πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν ἀμύθητα χρήματα ἐξέλεξε Demosth. 4, 34.

54. Timotheus *odio ingratae civitatis coactus Chalcidem se contulit* (Nep. Tim. 3), ubi paulo post moritur cf. Meyer V § 978.

llum Euboicum.

57/6. οἱ τὴν Εὔβοιαν κατοικοῦντες ἐστασίασαν πρὸς ἀλλήλους καὶ τῶν μὲν τοὺς Βοιωτούς, τῶν δὲ τοὺς Ἀθηναίους ἐπικαλεσαμένων συνέστη πόλεμος κατὰ τὴν Εὔβοιαν. γενομένων δὲ πλειόνων συμπλοκῶν καὶ ἀκροβολισμῶν ὁτὲ μὲν οἱ Θηβαῖοι προετέρουν, ὁτὲ δὲ οἱ Ἀθηναῖοι τὴν νίκην ἀπεφέροντο· μεγάλη μὲν οὖν παράταξις οὐδεμία συνετελέσθη. Diod. XVI 7, 2 ad a. 358/7. — Aischin. 3, 85: ἐπειδὴ διέβησαν εἰς Εὔβοιαν Θηβαῖοι καταδουλώσασθαι τὰς πόλεις πειρώμενοι, ἐν πέντε ἡμέραις ἐβοηθήσατε αὐτοῖς καὶ ναυσὶ καὶ πεζικῇ δυνάμει, καὶ πρὶν τριάκονθ' ἡμέρας διελθεῖν ὑποσπόνδους Θηβαίους ἀφήκατε, κύριοι τῆς Εὐβοίας γενόμενοι, καὶ τάς τε πόλεις αὐτὰς καὶ τὰς πολιτείας ἀπέδοτε ὀρθῶς καὶ δικαίως τοῖς παρακαταθεμένοις ... Dem. 8, 74: ἴστε γὰρ δήπου τοῦθ' ὅτι Τιμόθεός ποτ' ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν, ὡς δεῖ βοηθεῖν καὶ τοὺς Εὐβοέας σῴζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντ' αὐτούς, καὶ λέγων εἶπεν οὕτω πως· 'εἰπέ μοι, βουλεύεσθ', ἔφη, Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρων;' Hoc bello imprimis Eretriam ab aliis civitatibus petitam sed a Carystiis nec non Atheniensibus defensam esse testantur tituli IG II² 125 et 124 (Dittenberger Syll.² 109. 110). De tempore cf. Kahrstedt 68 sq. Pace restituta legati Atheniensium mittuntur Carystum, Eretriam, Chalcidem, Oreum; Carystiorum legati et populus et σύνεδρος laudantur IG II² 124, qui in formula foederis ut Koehlerus putat quaedam mutarent cf. Schaefer *Dem.* I² 162 sq. Eodem tempore legati Euboeensium [Ἀμφ]ήριτος et Ἡρακλειόδωρος, sine dubio Histiaeenses, ad foedus sanciendum Athenas venerunt et proxenia nec non cena in prytaneo honorantur decreto IG II² 149.

352. Dem. 23, 124: φέρ' ἐὰν δὲ δὴ καὶ Μενέστρατος ἡμᾶς ὁ Ἐρετριεὺς ἀξιοῖ ταῦτα καὶ αὑτῷ ψηφίσασθαι (sc. ἐάν τις ἀποκτείνῃ Χαρίδημον, ἀγώγιμος ἔστω - -) ἢ Φάϋλλος ἢ Φωκεὺς ἢ τις ἄλλος δυνάστης (πολλοῖς δὲ δήπου διὰ καιρούς τινας πολλάκις φίλοι γιγνόμεθα), πότερον ψηφιούμεθα ἢ οὔ; cf. Radüge *Zeitbestimmung des euböischen u. olynthischen Krieges* 19.

351. Litterae Philippi ad civitates Euboicas datae commemoratae a Dem. Phil. I 37 ὁ δ' εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν, ὥστ' ἐπιστέλλειν Εὐβοεῦσιν ἤδη τοιαύτας ἐπιστολάς ΕΠΙΣΤΟΛΗΣ ΑΝΑΓΝΩΣΙΣ cf. schol. ad h. l. ὁ σκοπὸς τῆς ἐπιστολῆς ἐστιν οὑτοσί· ὁ Φίλιππος ἐπέστειλεν Εὐβοιεῦσι συμβουλεύων μὴ δεῖν ἐλπίζειν εἰς τὴν Ἀθηναίων συμμαχίαν οἳ οὐδὲ αὑτοὺς δύνανται σῴζειν.

Plutarchus tyrannus Eretriensium.

349/8. De rebus his annis ab Atheniensibus in Euboea gestis optime disputavit Kahrstedt *Forsch. z. Gesch. d. 5. u. 4. Jahrh. Berlin* 1910, 54 sq., quem excepit Pokorny *Stud. z. gr. Gesch. im 6. u. 5. Jahrzehnt d. 4. Jahrh. v. Chr. Diss. Greifswald* 1913, 116—122. Hic affert a Kahrstedtio omissum Radüge *Zeitbestimmung d. euböischen u. olynthischen Krieges. Diss. Königsberg* 1908, 19 sq. Atque ordinem rerum K. ita constituit. I. Fine a. 349 Phocio cum copiis quibusdam Atheniensibus (non πανδημεί) in Euboeam profectus est ad Plutarchum tyrannum Eretriensium adiuvandum (Demosthene dissuadente cf. Dem. 5, 5). II. Atque primum mensibus fere Novembri/Decembri 349 rem bene gessit, deinde imperium Molosso tradidit. Molossus ipse cum militibus in potestatem Euboeensium, inter quos Plutarchus ipse nominatur, venit atque initio a. 348 50 talentis redimitur cum militibus. III. Praesidium solum Tamynis positum fortissime resistit atque a recentibus Atheniensium militibus tam fortiter adiuvatur, ut Euboeenses mense Maio vel Iunio 348 pacem petiverint. Quare Kahrstedt coniecit (p. 59) his copiis iterum Phocionem praefuisse atque apud Plutarchum (Phoc. 12) ordinem rerum inversum esse. IV. De equitibus Atheniensibus Argurae collocatis a Phocione arcessitis atque de aliis locis Demosthenis et Aeschinis cf. Kahrstedt 59.

349 exeunte anno. I. Plut. Phoc. 12: .. Πλουτάρχου δὲ τοῦ Ἐρετριέως καλοῦντος τοὺς Ἀθηναίους καὶ δεομένου τὴν νῆσον ἐξελέσθαι καταλαμβανομένην ὑπὸ τοῦ Μακεδόνος, ἀπεστάλη στρατηγὸς ὁ Φωκίων ἔχων δύναμιν οὐ πολλήν, ὡς τῶν ἐκεῖ συστησομένων ἑτοίμως πρὸς αὐτόν. εὑρὼν δὲ προδοτῶν ἅπαντα μεστὰ καὶ νοσοῦντα καὶ διορωρυγμένα δωροδοκίαις εἰς κίνδυνον μέγαν κατέστη· καί τινα λόφον χαράδρᾳ βαθείᾳ τῶν περὶ τὰς Ταμύνας ἐπιπέδων ἀποκρυπτόμενον καταλαβὼν συνεῖχεν ἐν τούτῳ καὶ συνεκράτει τὸ μαχιμώτατον τῆς δυνάμεως. — 13: ὡς δὲ ἐπῄεσαν οἱ πολέμιοι, κελεύσας ἐν τοῖς ὅπλοις ἀτρεμεῖν, ἄχρι ἂν αὐτὸς σφαγιάσηται, πλείω διέτριβε χρόνον ἢ βουλόμενος ἐγγυτέρω τοὺς πολεμίους ἐπισπάσασθαι. διὸ πρῶτον μὲν ὁ Πλούταρχος οἰόμενος ἀποδειλιᾶν καὶ κατοκνεῖν ἐκεῖνον ἐξέδραμε μετὰ τῶν ξένων. Sequitur pugnae contra Plutarchum commissae descriptio. ἐκ τούτου τόν τε Πλούταρχον ἐξέβαλεν ἐκ τῆς Ἐρετρίας καὶ Ζάρητρα φρούριον ἑλὼν ἐπικαιρότατον ᾗ μάλιστα συνελαύνεται τὸ πλάτος εἰς βραχὺ διάζωμα τῆς νήσου σφιγγομένης ἑκατέρωθεν ταῖς θαλάσσαις, ὅσους ἔλαβεν αἰχμαλώτους Ἕλληνας ἀφῆκε ..

Hieme 349/8. 14: ἐπεὶ δὲ ταῦτα διαπραξάμενος ἀπέπλευσεν ὁ Φωκίων, ταχὺ μὲν ἐπόθησαν οἱ σύμμαχοι τὴν χρηστότητα καὶ δικαιοσύνην αὐτοῦ ... ὁ γὰρ μετ' ἐκεῖνον ἐλθὼν ἐπὶ τὰ πράγματα Μολοσσὸς οὕτως ἐπολέμησεν, ὥστε καὶ ζῶν αὐτὸς ὑποχείριος γενέσθαι τοῖς πολεμίοις. — [Dem.] 59, 4: μελλόντων στρατεύεσθαι ὑμῶν πανδημεὶ εἴς τε Εὔβοιαν καὶ Ὄλυνθον i. e.

348 cf. Pokorny 118. — II. Schol. Demosth. 5, 5: Πλούταρχος ἦν Ἐρετρίας τύραννος. τούτῳ ἐπανέστη Κλείταρχος καὶ ἅμα καὶ οἱ πολῖται συνεπέθεντο. ἔπεμψε πρὸς Ἀθηναίους συμμαχίαν αἰτῶν. ἀντεῖπε Δημοσθένης, μὴ πεισθέντες ἀπέστειλαν· μετεπέμψατο καὶ μισθοφόρους ξένους. διαλυσάμενος ἀπαιτούντων αὐτὸν τῶν ξένων τὸν μισθόν, αὐτοῖς Ἀθηναίων λογάδας δήσας ἔδωκεν, οἱ δὲ Ἀθηναῖοι ν' τάλαντα πέμψαντες ἐλύσαντο αὐτούς. — III. Ulpian. ad Dem. 19, 290 p. 116 Sauppe. Ἡγησίλεως εἰς Εὔβοιαν ἐστρατήγει, ὅτε τῷ Πλουτάρχῳ τὴν βοήθειαν ἔπεμψαν Ἀθηναῖοι· ἐκρίθη δὲ ὡς συνεξαπατήσας τῷ Πλουτάρχῳ τὸν δῆμον. — IV. Dem. 21, 110: καὶ γραφὴν λιποταξίου μ' ἐγράψατο καὶ τῶν ἐν Εὐβοίᾳ πραγμάτων .. ἃ Πλούταρχος ὁ τούτου ξένος καὶ φίλος διεπράξατο ὡς [ἐγὼ] αἴτιός εἰμι, κατεσκεύαζε πρὸ τοῦ τὸ πρᾶγμα γενέσθαι πᾶσιν φανερὸν διὰ Πλουτάρχου γεγονός .. — 132: .. περὶ τῶν δὲ συστρατευσαμένων ἱππέων εἰς Ἄργουραν ἴστε δήπου πάντες οἷ' ἐδημηγόρησεν παρ' ὑμῖν, ὅθ' ἧκεν ἐκ Χαλκίδος, κατηγορῶν καὶ φάσκων ὄνειδος ἐξελθεῖν τὴν στρατιὰν ταύτην τῇ πόλει. — 162: ἐπειδὴ δὲ πολιορκεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάντας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, προεβούλευσεν ἡ βουλή .... — 164: ἐπειδὴ δ' ὁ στρατηγὸς Φωκίων μετεπέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας ἐπὶ τὴν διαδοχήν. — 167: ὅτε δεῦρ' ἀπέπλειτ' ἐκ Στύρων. — Aisch. 3, 86: ἐπειδὴ διέβητε εἰς Εὔβοιαν Πλουτάρχῳ βοηθήσοντες, τοὺς μὲν πρώτους χρόνους ἀλλ' οὖν προσεποιοῦνθ' ὑμῖν εἶναι φίλοι (sc. οἱ Χαλκιδεῖς), ἐπειδὴ δὲ τάχιστα εἰς Ταμύνας παρήλθομεν, καὶ τὸ Κοτύλαιον ὀνομαζόμενον ὄρος ὑπερεβάλομεν, ἐνταῦθα Καλλίας ὁ Χαλκιδεὺς .... συναγείρας ἐξ ἁπάσης τῆς Εὐβοίας στρατόπεδον καὶ παρὰ Φιλίππου[1]) δύναμιν προσμεταπεμψάμενος, ὅ τ' ἀδελφὸς αὐτοῦ Ταυροσθένης, - - τοὺς Φωκικοὺς ξένους διαβιβάσας, ἧλθον ἐφ' ἡμᾶς ὡς ἀναιρήσοντες. 88: καὶ εἰ μὴ πρῶτον μὲν θεῶν τις ἔσωσε τὸ στρατόπεδον, ἔπειθ' οἱ στρατιῶται [οἱ ὑμέτεροι] καὶ οἱ πεζοὶ καὶ οἱ ἱππεῖς ἄνδρες ἐγένοντο ἀγαθοί, καὶ παρὰ τὸν ἱππόδρομον τὸν ἐν Ταμύναις ἐκ παρατάξεως μάχῃ κρατήσαντες ἀφεῖσαν ὑποσπόνδους τοὺς πολεμίους, ἐκινδύνευσεν ἂν ἡ πόλις αἴσχιστα παθεῖν.

Aestate 348. Aesch. 2, 12: - - ὅθ' οἱ πρέσβεις οἱ τῶν Εὐβοέων, ἐπειδὴ περὶ τῆς πρὸς αὐτοὺς εἰρήνης τῷ δήμῳ διελέχθησαν, εἶπον, ὅτι καὶ Φίλιππος αὐτοὺς κελεύσειεν ὑμῖν ἀπαγγεῖλαι, ὅτι βούλεται διαλύσασθαι πρὸς ὑμᾶς - - οὐ πολλῷ δ' ὕστερον χρόνῳ Φρύνων ὁ Ῥαμνούσιος ἑάλω ὑπὸ λῃστῶν (sc. 348 mense Iulio) cf. Radüge 19, 5; Aesch. 3, 89.

Clitarchus tyrannus Eretriensium.

343 fin. Clitarchus tyrannus a Philippo institutus (Diod. XVI 74 ἐπὶ δὲ τούτων Φωκίων .. κατεπολέμησε Κλείταρχον τὸν Ἐρετρίας τύραννον καθεσταμένον ὑπὸ Φιλίππου) Kahrstedt 72. — Ps.-Plut. Vit. Dec. Orat. Hyper. p. 848 D: Φιλίππου δὲ πλεῖν ἐπ' Εὐβοίας παρεσκευασμένου καὶ τῶν Ἀθηναίων εὐλαβῶς ἐχόντων τεσσαράκοντα τριήρεις ἤθροισεν (sc. Demosthenes) ἐξ ἐπιδόσεως καὶ πρῶτος ὑπὲρ αὐτοῦ καὶ τοῦ παιδὸς ἐπέδωκε δύο τριήρεις. — Dem. 9, 33: Philippus πέμπει δὲ ξένους τοὺς μὲν εἰς Πορθμὸν τὸν δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεόν, τύραννον Φιλιστίδην καταστήσοντας. — 10, 8: - - κατέσκαπτε Πορθμὸν καὶ τυραννίδ' ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπετείχισεν, ὑμῖν ἐν τῇ Εὐβοίᾳ. — 18, 71: - - καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον - -. — 19, 87: ὁσάκις πρὸς Πορθμῷ, πρὸς Μεγάροις ἀκούοντες δύναμιν Φίλιππον καὶ ξένους ἐθορυβεῖσθε, πάντες ἐπίστασθε. — Dem. 19. 326: ἀντὶ δὲ τοῦ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ὑμῖν παραδοθῆναι, ὁρμητήρι' ἐφ' ὑμᾶς ἐν Εὐβοίᾳ Φίλιππος προσκατασκευάζεται καὶ Γεραιστῷ καὶ Μεγάροις ἐπιβουλεύων διατελεῖ.

341/0. Philochor. apud Didym. ad Dem. col. 1, 19: ἐπὶ τούτου (sc. Νικομάχου) οἱ Ἀθηναῖοι διέβησαν εἰς Ἐρέτριαν Φωκίωνος στρατηγοῦντος καὶ κατάξοντες τὸν δῆμον ἐπολιόρκουν Κλείταρχον, ὃς πρότερον μὲν ἀντιστασιώτης ἦν Πλουτάρχου καὶ διεπολιτεύετο πρὸς αὐτόν, ἐκείνου δὲ ἐκπεσόντος ἐτυράννησε· τότε δὲ ἐκπολιορκήσαντες αὐτὸν Ἀθηναῖοι τὴν πόλιν ἀπέδωκαν. Cf. Schol. Aeschin. 3, 103: ἐπὶ ἄρχοντος Νικομάχου Φιλίππου βασιλεύοντος ἔτος κ' Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν Φωκίωνος στρατηγοῦντος τόν τε τύραννον τῶν Ἐρετριέων ἀπέκτειναν καὶ τὴν πόλιν τοῖς Ἐρετριεῦσι παρέδωκαν καὶ δημοκρατίαν κατέστησαν. — Annis insequentibus factum esse decretum de Artemisiis celebrandis (supra n. 189), in cuius fine leguntur: ὅπως ἂν κατὰ ταῦτα γίγνηται ἡ θυσίη καὶ ἡ μουσικὴ τεῖ Ἀρτέμιδι εἰς τὸν ἀεὶ χρόνον ἐλευθέρων ὄντων Ἐρετριέων καὶ εὖ πρηττόντων καὶ αὐτοκρατόρων demonstravit Wilhelm Ἐφ. Ἀρχ. 1904, 93 sq.; cf. *Jahresh.* VIII 13 sq.

341. Dem. 8, 18: τί δ' ἂν ἀπελθὼν ἐκ Θρᾴκης - - ἐπὶ Χαλκίδα καὶ Μέγαρ' ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ ἐπ' Ὠρεὸν πρῴην. — 36: δι' ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸν μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας (sc. Clitarchum), τὸν δ' ἐπὶ Σκίαθον (sc. Philistidem Oritanum sec. Kahrstedt 72) cf. Dem. 3, 63. — 9, 66: καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων (sc. ἀπειλήφει χάριν), ὅτι τοὺς ὑμετέρους πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν. δουλεύουσί γε μαστιγούμενοι καὶ σφαττόμενοι. — 57: - - ἐν Ἐρετρίᾳ ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκούοντες δὲ τούτων τὰ πολλὰ μᾶλλον οἱ ταλαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπείσθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκβαλεῖν — 58: καὶ γάρ τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος αὐτοῖς Φίλιππος καὶ ξένους χιλίους τὰ τείχη περιεῖλε τοῦ Πορθμοῦ καὶ τρεῖς κατέστησεν τυράννους, Ἵππαρχον, Αὐτομέδοντα, Κλείταρχον καὶ μετὰ ταῦτ' ἐξελήλακεν ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σῴζεσθαι, τότε μὲν πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς μετὰ Παρμενίωνος. Cf. Dem. 18, 295: οἳ ... τὰ κοινῇ συμφέροντα προΐεντο - - - Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. Plut. Apophthegm. reg. p. 178 E: Ἱππάρχου τοῦ Εὐβοέως ἀποθανόντος δῆλος ἦν (sc. Φίλιππος) βαρέως φέρων· εἰπόντος δέ τινος 'ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν' 'ἑαυτῷ γε' εἶπεν, 'ἐμοὶ δὲ ταχέως· ἔφθη γὰρ τελευτήσας πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν.'

Post a. 346. Dem. 7, 38: φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύστιον, τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ ὑμεῖς τρεῖς πρέσβεις ἐπέμψατε ἀπαιτοῦντες, τοῦτον τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρίσασθαι, ὥστ' ἀπέκτεινε καὶ οὐδ' ἀναίρεσιν ἔδωκεν, ἵνα ταφῇ.

346. Dem. 19, 155: ἐπειδὴ δ' ἀφικόμεθ' εἰς Ὠρεὸν καὶ συνεμείξαμεν τῷ Προξένῳ, ἀμελήσαντες οὗτοι τοῦ πλεῖν καὶ τὰ προστεταγμένα πράττειν, ἐπορεύοντο κύκλῳ - -. — Aeschin. 3, 89: εἴρηκε δὲ οὗτος πρὸς ὑμᾶς - - - ὅτι τῆς πρεσβείας ὧν ἡγεμὼν ἐγὼ - - - ἐκαθήμην ἐν Ὠρεῷ καὶ οἱ συμπρέσβεις, προξενίας κατασκευαζόμενοι. Cf. Dem. 18, 82: οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου πότε πρέσβεις δεῦρ' ἀφικνούμενοι παρά σοι κατέλυον, Αἰσχίνη, καὶ σὺ προὐξένεις αὐτῶν.

Philistides tyrannus Histiaeensium.

343/2. Dem. 9, 59: ἐν Ὠρεῷ Φιλιστίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σωκράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν πόλιν (καὶ ταῦτ' ᾔδεσαν πάντες), Εὐφραῖος δέ τις ἄνθρωπος καὶ παρ' ἡμῖν ποτ' ἐνθάδ' οἰκήσας, ὅπως ἐλεύθεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. — 60: οὗτος - - ἐνιαυτῷ δὲ πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φιλιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττουσιν. συστραφέντες δ' ἄνθρωποι πολλοὶ καὶ χορηγὸν ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι, ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον, ὡς συνταράττοντα τὴν πόλιν. — 61: ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν Ὠρειτῶν ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμπανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον ταῦτα παθεῖν ἔφη κἀπέχαιρεν· μετὰ ταῦθ' οἱ μὲν ἐπ' ἐξουσίας ὁπόσης ἠβούλοντο ἔπραττον, ὅπως ἡ πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν· τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέπληκτο, τὸν Εὐφραῖον οἷ' ἔπαθεν μεμνημένοι. οὕτω δ' ἀθλίως διέκειντο, ὥστε οὐ πρότερον ἐτόλμησεν οὐδεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι· τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προὐδίδοσαν. — 62: τῆς πόλεως δ' οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς, οἱ μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σῴζοντας ἑαυτοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας, τοὺς μὲν ἐκβαλόντες, τοὺς δ' ἀποκτείναντες, ὁ δ' Εὐφραῖος
342 fin. ἐκεῖνος ἀπέσφαξεν ἑαυτόν .. cf. Schaefer *Demosth.* II 392. De temporum ratione cf. Kahrstedt *Forsch. z. Gesch. d. 5. u. 4. Jahrh.* 1910, 72 sq. — Athen. XI p. 508 e: Εὐφραῖος μὲν γὰρ παρὰ Περδίκκᾳ τῷ βασιλεῖ διατρίβων ἐν Μακεδονίᾳ οὐχ ἧττον αὐτοῦ [ἐβασίλευε] φαῦλος ὢν καὶ διάβολος, [ὃς] οὕτω ψυχρῶς συνέταξε τὴν ἑταιρίαν τοῦ βασιλέως ὥστε οὐκ ἐξῆν τοῦ συσσιτίου μετασχεῖν, εἰ μή τις ἐπίσταιτο γεωμετρεῖν ἢ φιλοσοφεῖν. ὅθεν Φιλίππου τὴν ἀρχὴν παραλαβόντος Παρμενίων αὐτὸν ἐν Ὠρεῷ λαβὼν ἀπέκτεινεν, ὥς φησι Καρύστιος ἐν Ἱστορικοῖς Ὑπομνήμασι (FHG IV 357). Cf. p. 506 e: Εὐφραῖον γὰρ ἀπέστειλε τὸν Ὠρείτην Πλάτων πρὸς Περδίκκαν, ὃς ἔπεισεν ἀπομερίσαι τινὰ χώραν Φιλίππῳ.

341. Plut. Dem. 17: πρῶτον μὲν εἰς Εὔβοιαν ἐξώρμησε τοὺς Ἀθηναίους καταδεδουλωμένην ὑπὸ τῶν τυράννων Φιλίππῳ καὶ διαβάντας, ἐκείνου τὸ ψήφισμα γράψαντος, ἐξήλασαν τοὺς Μακεδόνας. Cf. Dem. 18, 79: εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο (sc. ἔγραψα), εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησεν — 87: ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ὑφ' ὑμῶν ἐξηλάθη τοῖς μὲν ὅπλοις, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν διαρραγῶσί τινες τούτων, ὑπ' ἐμοῦ.

[1]) παρὰ Φαλαίκου coniecit Schulz *Jahrb. Philol.* 1866, 314 laudatus a Belochio II 503.

340. Aeschin. 3, 103: ὑπόλοιπον δ' εἰπεῖν ἐστί μοι, ὅτι λαβὼν τρία τάλαντα μισθὸν τὴν γνώμην ταύτην ἔγραψε Δημοσθένης (de foedere cum Chalcidensibus), τάλαντον μὲν ἐκ Χαλκίδος παρὰ Καλλίου, τάλαντον δ' ἐξ Ἐρετρίας παρὰ Κλειτάρχου τοῦ τυράννου, τάλαντον δὲ ἐξ Ὠρεοῦ, δι' ὃ καὶ καταφανὴς ἐγένετο, δημοκρατουμένων τῶν Ὠρειτῶν καὶ πάντα πραττόντων μετὰ ψηφίσματος. ἐξανηλωμένοι γὰρ ἐν τῷ πολέμῳ καὶ παντελῶς ἀπόρως διακείμενοι, πέμπουσι πρὸς αὐτὸν Γνωσίδημον τὸν Χαριγένους υἱὸν τοῦ δυναστεύσαντός ποτε ἐν Ὠρεῷ, δεησόμενον τὸ μὲν τάλαντον ἀφεῖναι τῇ πόλει, ἐπαγγελούμενον δ' αὐτῷ χαλκῆν εἰκόνα [σταθήσεσθαι ἐν Ὠρεῷ]. — 104: ὁ δὲ ἀπεκρίνατο τῷ Γνωσιδήμῳ, ὅτι ἐλαχίστου χαλκοῦ οὐδὲν δέοιτο, τὸ δὲ τάλαντον διὰ τοῦ Καλλίου εἰσέπραττεν. ἀναγκαζόμενοι δὲ οἱ Ὠρεῖται καὶ οὐκ εὐποροῦντες, ὑπέθεσαν αὐτῷ τοῦ ταλάντου τὰς δημοσίας προσόδους, καὶ τόκον ἤνεγκαν Δημοσθένει τοῦ δωροδοκήματος δραχμὴν τοῦ μηνὸς τῆς μνᾶς, ἕως τὸ κεφάλαιον ἀπέδοσαν. — 105: καὶ ταῦτ' ἐπράχθη μετὰ ψηφίσματος τοῦ δήμου. ὅτι δὲ ἀληθῆ λέγω, λαβέ μοι τὸ ψήφισμα τῶν Ὠρειτῶν.

Εὐβοϊκὸν συνέδριον *a Callia conditum.*

341. Aeschin. 3, 89: τυχὼν δὲ παρ' ὑμῶν συγγνώμης (post pugnam ad Tamynas factam) Καλλίας (Schol. Aesch. 3, 85: οὗτός ἐστιν ὁ Καλλίας ὁ ποιήσας τὴν Εὔβοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους, μετὰ τὸ ἐξελασθῆναι ἐξ αὐτῆς τοὺς περὶ τὸν Φιλιστίδην καὶ τὸν Κλείταρχον, ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν) ὁ Χαλκιδεὺς μικρὸν διαλιπὼν χρόνον πάλιν ἧκε φερόμενος εἰς τὴν ἑαυτοῦ φύσιν. Εὐβοϊκὸν μὲν τῷ λόγῳ συνέδριον εἰς Χαλκίδα συνάγων, ἰσχυρὰν δὲ τὴν Εὔβοιαν ἐφ' ὑμᾶς ἔργῳ κατασκευάζων, ἐξαίρετον δ' αὑτῷ τυραννίδα περιποιούμενος. Cum neque a Philippo neque a Thebanis adiuvaretur, — 91: ἀποστέλλει δεῦρο πρέσβεις Γλαυκέτην καὶ Ἐμπέδωνα καὶ Διόδωρον τὸν δολιχοδρομήσαντα, φέροντας τῷ μὲν δήμῳ κενὰς ἐλπίδας, Δημοσθένει δ' ἀργύριον καὶ τοῖς περὶ τοῦτον. τρία δ' ἦν ἃ ἅμα ἐξωνεῖτο, πρῶτον μὲν μὴ διασφαλῆναι τῆς πρὸς ὑμᾶς συμμαχίας - - - δεύτερον δ' ἧκον οἱ μισθοὶ τῷ γράψοντι τὴν συμμαχίαν ὑπὲρ τοῦ μὴ συνεδρεύειν Ἀθήνησι Χαλκιδέας, τρίτον δὲ ὥστε μὴ τελεῖν συντάξεις. — 92: - - ὁ μισοτύραννος Δημοσθένης - - ἔγραψε δ' ἐν τῇ συμμαχίᾳ βοηθεῖν ἡμᾶς Χαλκιδεῦσι, ῥῆμα μόνον ἀντικαταλλαξάμενος ἀντὶ τούτων, εὐφημίας ἕνεκα προσγράψας καὶ Χαλκιδέας βοηθεῖν, ἐάν τις ἴῃ ἐπ' Ἀθηναίους. — 94: εἰς γὰρ τοῦτο προήχθη Καλλίας μὲν [ὁ Χαλκιδεὺς] ὕβρεως καὶ πλεονεξίας, Δημοσθένης δὲ - - δωροδοκίας, ὥστε τὰς ἐξ Ὠρεοῦ συντάξεις καὶ τὰς ἐξ Ἐρετρίας, τὰ δέκα τάλαντα, ὁρώντων φρονούντων βλεπόντων ἔλαθον ὑμῶν ὑφελόμενοι, καὶ τοὺς ἐκ τῶν πόλεων τούτων συνέδρους παρ' ὑμῶν μὲν ἀνέστησαν, πάλιν δὲ εἰς Χαλκίδα καὶ τὸ καλούμενον Εὐβοϊκὸν συνέδριον συνήγαγον. — 100: Demosthenes γράφει ἑλέσθαι πρέσβεις εἰς Ἐρέτριαν, οἵτινες δεήσονται τῶν Ἐρετριέων - - μηκέτι διδόναι τὴν σύνταξιν ὑμῖν, τὰ πέντε τάλαντα, ἀλλὰ Καλλίᾳ, καὶ πάλιν ἑτέρους αἱρεῖσθαι εἰς Ὠρεὸν [πρὸς τοὺς Ὠρείτας πρέσβεις], οἵτινες δεήσονται τὸν αὐτὸν Ἀθηναίοις φίλον καὶ ἐχθρὸν νομίζειν [εἶναι]. Cf. Dinarch. 1, 44 ἃ τὸ γράψαι Ταυροσθένην Ἀθηναῖον εἶναι (τὸν) τοὺς μὲν αὑτοῦ πολίτας καταδουλωσάμενον, τῆς δὲ Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγενημένον; Hyper. 1 XX 13. Aeschin. 3, 85.

341/0. Foedus Euboicum a. 341/0 conditum esse contra Belochium *Att. Politik* 210 sq. 367 sq. demonstravisse mihi videtur Kahrstedt *Forsch.* 78. De foedere cf. Swoboda *Staatsaltert.* 442. Titulos hoc loco coniungere e re visum est. Saec. III ineunte, Demetrio Macedoniam tenente (294—88), floruisse τὸ κοινὸν τῶν Εὐβοιέων testis est tit. n. 207, lex Euboeensium de technitis conducendis. Atque Euboeenses tum cultum et ferias in honorem Demetrii renovavisse, Δημητρίεια instituisse, artifices publice arcessivisse videntur. Non singulae urbes sed viri secundum foederis legem electi cum artificibus, qui nondum sodalicio artificum (κοινὸν τῶν τεχνιτῶν) adscripti erant (cf. G. Klaffenbach *Symbolae ad hist. colleg. artific. Bacch.* 1914, 11), paciscuntur, urbes tamen mercedem et victum iis solvere atque eos per choregos suos hospitio recipere debent. Singulae urbes sumptu publico theoros mittunt, qui ferias in singulis urbibus spectent, pompae et aliis caerimoniis intersint κατὰ τὸν Εὐβοϊκὸν νόμον. Singulae urbes ius retinent dierum intercalandorum neque tamen plurium quam trium, quibus ad ferias celebrandas opus sit (v. 28 ἐάν που προσδέωνται [οἱ ἄρχοντες - -] ἐμβολίμων ἡμερῶν, ἐ[ξεῖ]ν αὐτοῖς ἐνβαλέσθαι μέχρι ἡμερῶν τριῶν); si autem de mensibus integris intercalandis agitur adhibere debent viros illos electos ex omnibus urbibus, ut menses intercalares tota Euboea iidem sint (v. 50). A foedere sanciuntur poenae contra artifices, qui promisso suo non stant, singulae autem urbes iubentur poenas ab iis (ἣ δὲ πρᾶξις ἔστω - - καθ' ἑκάστην πόλιν) vel vectigalia κατὰ τὰ δόξαντα τοῖς Εὐβοιεῦσι petere. Foedus autem eas adiuvat, cum artificibus ab urbe quadam damnatis tota insula aquae et igni interdicitur eorumque bona publici iuris fiunt. Idem foedus severissime vetat artifices ἐν ταῖς πόλεσι ullo modo multa illa liberari. Qui hanc legis normam infringere audet, de eo ad ipsum regem Demetrium, foederis protectorem, referre placet (v. 48). Neque enim foedus ipsum vim coercendi habet, sed viri ab eo electi, si putant artificem quendam vel redemptorem legem hanc violavisse, ad singulas urbes rem deferre debent. Eodem pertinet, quod ἀσφάλεια ἐν ταῖς πόλεσι ταῖς ἐν Εὐβοίαι ἀπὸ τῶν πολιτικῶν ἐγκλημάτων artificibus a foedere quidem promittitur, praebetur autem ab imperatoribus et magistratibus singularum urbium (v. 63 sq.). — Simili modo etiam saec. I a. Chr. non singulas urbes, sed foedus per gymnasiarchos suos ludos celebrandos curavisse indicat tit. n. 916, in cuius initio foederis magistratus enumerantur hi: ἡγεμών, ταμίας ἐπὶ τῶν περιόντων. ἱερεὺς Μάρκου Ἰουνίου Σειλανοῦ, γυμνασιαρχῶν et καταμήνιοι γυμνασίαρχοι. — Saec. III ineunte? (*in der Galaternot'* Wil.) κοινὸν τῶν Εὐβοέων exstitisse, at certo tempore Carystiorum urbem eius participem non fuisse titulus Chius vel Erythraeus Ἀθηνᾶ XX 214 probare videtur, de quo cf. v. Wilamowitz-Moellendorff *Nordion. Steine* 21. Ibi enim inter alios cives diversarum urbium enumerantur col. II 7 Καρύστιοι | Νικόστρατος Θεοφίλου | Εὐαίων Τ[ι]μ[άρχ]ου tum Εὐβοεῖς duo (Εὐβοιεὺς Θαρρύνου, ... θεμις Καλλι..). Conferas alium Euboeensem urbis incertae IG IX 2, 415, 31 (saec. I a. Chr. n.) Ἀγέων (libertus) ἀπὸ Θεοδότου τοῦ Μνασέου Εὐβοιέως. — n. 206. Euboeensium foedus non iam viguisse sequitur e titulis Magnesiis, quorum legati hoc anno adeunt τὸ κοινὸν τῶν Βοιωτῶν, τὸ κοινὸν τῶν Φωκέων (*Inschr. v. Magn.* 34), Athenas (37), Chalcidem (47), Eretriam (48) cf. Boesch Θεωρός p. 31 et titulos infra datos. — n. 194. Hoc tempore ut alia foedera ita etiam τὸ κοινὸν τῶν Εὐβοιέων redintegratum esse et tituli et nummi docent. Fuit autem συμπολιτεία, quae proxeniam communem tribuere poterat, ut singulae urbes suam, teste tit. n. 898, 4: πρόξενον εἶναι καὶ εὐεργέτην τοῦ κοινοῦ τῶν Εὐβοιέων Ἐργότιμον Ἀρισ[τοτέλους] καὶ αὐτὸν καὶ ἐκγόνους καὶ εἶναι αὐτοῖς γῆς καὶ οἰκίας ἔγκτησιν ὁπόταν βούλωνται (sc. tota insula) καὶ πρόσοδον πρὸς τὴν βουλὴν καὶ τὴν ἐκκλησίαν (sc. unius urbis Chalcidis) ὅταν βούλωνται .. cf. Swoboda *Staatsaltert.* 442. — Antonii temporibus foedus viguit cf. IG III 568 τὸ κοινὸν Βοιωτῶν, Εὐβοέων, Λοκρῶν, Φωκέων, Δωριέων Μᾶρκον Ἰούνιον Σειλανόν .. de quo cf. ad tit. n. 916, nec non anno fere 37 p. Chr. n. cf. IG VII 2711, I: [Στρατηγὸς Ἀχαιῶ]ν καὶ Βοιωτῶν καὶ Λοκρῶν καὶ Εὐβοέων καὶ [Φωκέων - - -]ς Διοδότου Ἀργεῖος Ἀκραιφιέων ἄρχουσι χαίρειν. III: [Αὐτοκ]ράτωρ Σεβαστὸς Καῖσαρ, θεοῦ Σεβαστοῦ ἔκγονος, Τιβερίου Καίσαρος υἱωνός, ἀρχιερεύς, δημαρχικῆς ἐξουσίας, ὕπατος, Ἀχαιῶν καὶ Βοιωτῶν καὶ Λοκρῶν καὶ Φωκέων καὶ Εὐ[βοέ]ων τῷ κοινῷ χαίρειν. 41 inter legatos [Εὐβο]έων δὲ Ἀριστόδικος .... φου, Λοκρῶν δὲ .. cf. VII 2878 [Αὐ]τοκράτορα [Τιβέριον Κλαύδιο]ν Καίσαρ[α Σεβαστὸν Γερμαν]ικόν, ἀρχιερέ[α μέγιστον, δημαρχικῆ]ς ἐξουσίας [τὸ ... πατέρα πατρίδ]ος, τὸ κοιν[ὸν Ἀχαιῶν, Φωκέων | Εὐβ]οέων, Λο[κρῶν Βοιωτῶν τὸν ἑαυτοῦ εὐεργέτην].

340. Chalcidensibus civitas Atheniensium commodavit triremes quasdam pro eisque fideiussores Atheniensium se obligaverant, quorum nomina leguntur IG II 804 *B* (334/3) II 809 c 42 cf. Partsch *Gr. Bürgschaftsrecht* I 1909, 419.

338. Victoria apud Chaeroneam reportata Philippus rex deditionem Chalcidensium nec non ceterarum insulae urbium accepisse videtur. Incertum est, num Philippus ipse Chalcidi praesidium imposuerit (cf. Schaefer *Dem. u. seine Zeit* III 35. 48).

333. Arr. An. 2, 2, 4: ἐν δὲ τούτῳ Πρωτέας ὁ Ἀνδρονίκου ἐτύγχανε μὲν ξυναγαγὼν ἐξ Εὐβοίας τε καὶ Πελοποννήσου ναῦς μακρὰς ὑπὸ Ἀντιπάτρου τεταγμένος, ὡς εἶναί τινα ταῖς τε νήσοις φυλακὴν καὶ αὐτῇ τῇ Ἑλλάδι, εἰ, καθάπερ ἐξηγγέλλετο, ἐπιπλέοιεν οἱ βάρβαροι· πυθόμενος δὲ Δατάμην περὶ Σίφνον ὁρμεῖν δέκα ναυσίν, αὐτὸς ἔχων πεντεκαίδεκα νυκτὸς ἀνάγεται ἀπὸ Χαλκίδος τῆς ἐπὶ τῷ Εὐρίπῳ.

323. Cum Leosthenes, dux Atheniensium, Graeciam imperio Macedonum liberare vellet, Carystii soli foedus Atheniensium sequebantur (Diod. XVIII 11), cum Euboeenses ceteri, ut videtur, coniuncti cum Thebanis Macedonibusque apud Plataeas a Leosthene vincerentur (Hyper. Epit. § 11 τοὺς πρώτους ἀντιταξαμένους τῆι τῶν Ἑλλήνων ἐλευθερίαι Βοιωτοὺς καὶ Μακεδόνας καὶ Εὐβοέας καὶ τοὺς ἄλλους συμμάχους αὐτῶν ἐνίκησε) cf. Paus. I 25, 4. — Aristoteles Athenis Chalcidem se contulit et ibi usque ad mortem (322/1) habitabat ut μέτοικος sive Μακεδών (cf. Wilamowitz *Ant.* 264), qui tamen ἔγκτησιν habebat, cum ξενῶνα τὸν πρὸς τῷ κήπῳ i. e. domum cum horto heredibus reliquerit cf. Diog. Laert. V 1, 14.

317. Cassandrum cum e Peloponneso in Macedoniam proficisceretur, Euboeam et Locridem sibi adiunxisse Beloch III^1 110 conclusit e Diodori verbis XIX 35, 2: ὁ δὲ βιάζεσθαι μὲν πρὸς τόπους δυσεμβόλους ἀπέγνω, παρασκευασάμενος δὲ πλοῖα καὶ σχεδίας ἔκ τε τῆς Εὐβοίας καὶ τῆς Λοκρίδος ἐπεραίωσε τὴν δύναμιν εἰς τὴν Θετταλίαν.

Euboea sub Macedonum imperio.

313. Antigoni partes sequuntur primum Histiaeenses, quorum urbem brevi post Cassander obsidione cinxit (Diod. XIX 75; IG II² 682, 13 sq.). Cum autem Polemaeus, Demetrii Poliorcetae frater, collem Salganeum in conspectu Chalcidis in litore Boeotiae situm occupavisset, Cassander Oreo relicta Chalcidem petebat neque tamen urbem tueri poterat, cum ab Antigono a tergo peteretur. Polemaeus igitur Chalcidem cepit atque etiam Eretrienses et Carystios foedere secum coniunxit. Diod. XIX 77, 4. 78, 3; Beloch III¹ 130.

312. Nec tamen praesidium Chalcide collocavit satis habens ducem quendam (. . . ὅτιμος) ἐπὶ τὴν τοῦ Εὐρίπου φυλακὴν relinquere, qui ibi usque ad annum 308 mansit cf. IG II² 469, quo Polemaeo mortuo Chalcidensibus libertatem restituit (τελευτήσαντος ἐκείνου ἀπέδωκε Χαλκιδεῦσιν τὸν Εὔριπον καὶ αἴτιος ἐγένετο τοῦ τὴν πόλιν αὐτῶν ἐλευθέραν γενέσθαι κατὰ τὴν προαίρεσιν τῶν βασιλέων Ἀντιγόνου καὶ Δημητρίου cf. Holleaux *Rev. ét. gr.* X 186/7.

309. Polemaeus Chalcide profectus Coum insulam petivit (Diod. XX 27), ita ut Chalcide sedem habuisse videretur, Holleaux l. a. 180.

Chalcidenses et Eretrienses Boeotorum foederi adiuncti.

Post 308. Chalcidenses nec non Eretrienses praesidium Boeotorum receperunt atque foederi Boeotico se adiunxerunt Beloch III¹ 150; III² 355; Swoboda *Staatsaltert.* 282. Quo factum est, ut Eretrienses Thebanos pecunia adiuverint ad urbem restituendam teste titulo IG VII 2419 = Holleaux *Rev. ét. gr.* VIII 7 sq. 21 Ἐρετριεῖς [. . . . δραχμὰς] Ἀττικὰς cf. *Rev. ét. gr.* X 189, ut Χαλκιδεύς inter legatos foederis Boeotorum enumeretur (VII 2724*b*), ut tituli Chalcidensis n. 912 annus indicetur Τιμοθέου ἱερέως, ἄρχοντος ἐν Ὀν[χηστῷ], ut Wilamowitzius supplevit, ut polemarchi civitatem Eretriensem administraverint, ut militum catalogi ad exemplum Boeoticorum Eretriae, fortasse etiam Chalcide (n. 912?), in lapidibus inscripti sint (cf. n. 240—2).

306/5. Decretum Atheniensium in honorem Timosthenis Demophanis f. Carystii, proxeni eorum, qui bello Lamiensi σύνεδρος Carystiorum in castra Atheniensium missus erat nec non postea Cassandro Athenas petente (306/5) eis auxilio venerat (IG II² 467). Huius nepotem Timosthenem a. 229/8 ab Atheniensibus propter avi merita laudatum esse decreto IG IV² 385*b* = Dittenberger Syll.³ 467 iure exposuit Wilhelm *GGA* 1903, 787.

304. Praesidium Boeotorum a Demetrio pellitur Diod. XX 100, 6 διαλυσάμενος πρὸς Ῥοδίους ἐξέπλευσε μετὰ πάσης τῆς δυνάμεως καὶ κομισθεὶς διὰ νήσων κατέπλευσε τῆς Βοιωτίας εἰς Αὖλιν· σπεύδων δ' ἐλευθερῶσαι τοὺς Ἕλληνας - - πρῶτον μὲν τὴν Χαλκιδέων πόλιν ἠλευθέρωσε φρουρουμένην ὑπὸ Βοιωτῶν. Prorsus eodem modo etiam Eretriae τῆι πομπῆι τῆι Διονύσου ἥ τε φρουρὰ ἀπῆλθεν ὅ τε δῆμος ἠλευθερώθη καὶ τὴν δημοκρατίαν ἐκομίσατο tit. n. 192 (cf. Holleaux *Rev. ét. gr.* VIII 29).

303/2. Athenis hipparchis rogantibus laudantur et coronantur nec non proxenia donantur viri Chalcidenses Αἴσχρων καὶ Αἰσχ- - καὶ - - της καὶ Μέλητος καὶ - - propter virtutem, qua Athenienses adiuverunt (ἀρετῆς ἕνεκα καὶ φιλοτιμίας τῆς εἰς τὸν δῆμον τὸν Ἀθηναίων καὶ τοὺς σ[υμμαχήσαντας τῶν Ἑλλήν]ων μετὰ τοῦ [βασιλέως Δημητρίου] IG II² 491.

302. Demetrius a Graecis dux belli adversus Cassandrum gerendi creatus classem et copias pedestres Chalcidem convenire iubet Diod. XX 110.

289/8. Demetrius partem navium, cum quibus a. 287 in Asiam proficiscitur, Chalcide aedificari iubet Plut. Demetr. 43, cf. Ἐφ. ἀρχ. 1892, 122.

301 sq. Post pugnam apud Ipsum commissam Eretrienses nec non Chalcidenses ut Athenienses Boeotos Phocenses a Demetrio defecisse Beloch III² 301 haud improbabiliter ex eo demonstrare studet, quod Menedemus Eretriensis, qui his annis inter προβούλους civitatis erat, legatus Ptolemaeum et Lysimachum adierit. Cf. Antigon. Caryst. apud Diog. Laert. II 140 (p. 100 Wil.) ὕστερον δὲ ἐθαυμάσθη ὥστε καὶ τὴν πόλιν ἐγχειρίσασθαι. ἐπρέσβευε δὲ καὶ πρὸς Πτολεμαῖον καὶ Λυσίμαχον, τιμώμενος πανταχοῦ· οὐ μὴν ἀλλὰ καὶ πρὸς Δημήτριον. καὶ τῆς πόλεως διακόσια τάλαντα τελούσης πρὸς ἔτος αὐτῷ, τὰ πεντήκοντα ἀφεῖλε· πρὸς ὃν διαβληθεὶς ὡς τὴν πόλιν ἐγχειρίζων Πτολεμαίῳ, ἀπολογεῖται δι' ἐπιστολῆς, ἧς ἡ ἀρχή ʻΜενέδημος βασιλεῖ Δημητρίῳ χαίρειν. ἀκούω πρὸς σὲ ἀνατεθῆναι περὶ ἡμῶν.ʼ (Hoc a. 294 factum esse putat Wilamowitz *Antigonos* 204.) λόγος δὲ διαβεβληκέναι αὐτὸν τῶν ἀντιπολιτευομένων τινὰ Αἰσχύλον. δοκεῖ δὲ ἐμβριθέστατα πρεσβεῦσαι πρὸς Δημήτριον ὑπὲρ τοῦ Ὠρωποῦ, ὡς καὶ Εὔφαντος ἐν ἱστορίαις μνημονεύει. Quocum optime congruere verba Heraclidis [FHG III 171] apud Diog. Laert. II 143: φησὶ δ' Ἡρακλείδης αὐτὸν πᾶν τοὐναντίον προβούλου γενόμενον τῶν Ἐρετριέων πολλάκις ἐλευθερῶσαι τὴν πόλιν ἀπὸ τῶν τυράννων ἐπαγόμενον Δημήτριον¹). (His igitur annis Demetrium Eretriam denuo cepisse apparet.) οὐκ ἂν δὴ οὖν προδοῦναι αὐτὸν Ἀντιγόνῳ τὴν πόλιν, ἀλλὰ διαβολὴν ἀναλαβεῖν ψευδῆ· φοιτᾶν τε πρὸς τὸν Ἀντίγονον καὶ βούλεσθαι ἐλευθερῶσαι τὴν πατρίδα· τοῦ δὲ μὴ εἴκοντος ὑπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμερῶν τὸν βίον μεταλλάξαι· τὰ ὅμοια τούτῳ καὶ Ἀντίγονος ὁ Καρύστιος ἱστορεῖ. μόνῳ δὲ Περσαίῳ διαπρύσιον εἶχε πόλεμον· ἐδόκει γὰρ Ἀντιγόνου βουλομένου τὴν δημοκρατίαν ἀποκαταστῆσαι τοῖς Ἐρετριεῦσι χάριν Μενεδήμου κωλῦσαι.

Aestate 277. Post pugnam ad Lysimachiam factam Antigonus Eretriae imperat cf. initium decreti apud Diog. Laert. II 142 allati infra p. 162, 93. Walek *Delph. Amphictyonie* 52. Libertatem urbis eo restrictam vindicare studet c. 275 legatus Menedemus.

275—267. Chalcidenses nec non Eretrienses et Histiaeenses libertatem recuperavisse comprobatur catalogis Amphictyonum Delphicorum. Atque a. 275—3 Delphis adest hieromnemon Eretriensis, a. 272—1 Εὐβοιέων, alter 272 Ἐπήρατος (Eretriensis?), alter Ἀμφικράτης Χαλκιδεύς, a. 268—7 Histiaeensis. Cf. Appendicem II. — Cum Eretria hoc modo pluries in potestatem Macedonum rediret, saepe redibat occasio imperatorum, qui victores urbem intraverant, aut Macedonum, qui ex amicis regis potentissimis erant, honorandorum. Tales viri sunt Τιμόθεος Λυσανίου Μακεδών (n. 196 post bellum Lamiense), Μυλλένας Ἀσάνδρου καὶ Ταύρων Μαχάτα Μακεδόνες (n. 197), Ἀδείμαντος Ἀνδροσθένους Λαμψακηνός Demetrii amicus (n. 198), Κλεοχάρης Πυθέου Μακεδὼν ἐξ Ἀμφιπόλεως (n. 191), Ἀπολλόδωρος Ἀναξιδότου Μακεδών et filius eius (n. 205. 206), Ἀρριδαῖος Ἀλεξάνδρου Μακεδών (n. 212 post a. 252), Φιλόξενος Μακεδών (n. 222). — Decreti sunt honores a senatu et populo aut a solo populo excepto uno tit. 187 A (a. 411), quo temporibus oligarchiae a solo senatu dux navium sociarum Tarentinarum proxenia donatur cf. Kinch *Exploration de Rhodes* III 34 sq., Swoboda *Staatsalt.* 63, 4. Rogationem ferunt in gravioribus viris οἱ πρόβουλοι καὶ οἱ στρατηγοί, quorum nomina interdum in postscripto addebantur cf. 212 et decretum a Menedemo rogatum p. 162, 93 aut soli οἱ πρόβουλοι in decretis gymnasiarchorum n. 234—6 et Chaerephanis n. 191 A. Eorum loco paucis annis dominationis Boeoticae occurrunt tres πολέμαρχοι cf. supra ad a. 308 sq. Neque tamen minus saepe inveniuntur singuli viri oratores decretorum.

253/2 vel 252/1. Alexander Crateri filius a Ptolemaeo adiutus deficit ab Antigono et rex Corinthi atque Euboeae proclamatur. Idem est εὐεργέτης τῶν Ἐρετριέων (n. 212, 4), cf. Suidas s. v. Εὐφορίων. Tarn *Antigonos Gonatas* 355; Beloch III² 436 sq. Alexander moritur 249/8 atque Antigonus Euboeam mox fortasse a Nicaea regina, quae Chalcide morabatur, recuperavit cf. Tarn 373.

ca. 240—30. Seleucus II ad augendam urbem Antiochiam adhibuit colonos Cretenses, Aetolos, Euboeenses secundum Libanium or. XI 119 Först. cf. Niese II 167.

230—220. Histiaeenses σιτώνας Delum mittunt, ut frumentum ibi coëmant cf. decretum XI 4, 1055 infra p. 170. Eodem fere tempore decretum Histiaeensium in honorem Sinopensium n. 1186 factum videtur, quorum urbs a. 220 a Mithridate II vehementer oppugnata a. 183 a Pharnace expugnabatur, cf. Beloch III¹ 302. Quocum optime congruit, quod Histiaea annis 236—1 libera fuit ab imperio Macedonum et suos i. e. Ionum hieromnemones Delphos misit, cf. Append. II et Tarn *Antig. Gon.* 294, qui Belochii chronologiam secutus hoc annis 268/6 factum esse putat.

223. Inter foederis ab Antigono cum civitatibus Graeciae facti socios liberos non enumerantur Euboeenses Polyb. IV 9, 4, qui obiter solum nominantur Polyb. XI 5, 4, quia sub Macedonum imperio erant, ut iure monuit Niese II 336 (aliter tamen Beloch III¹ 737).

224. Antigonus Doson contra Cleomenem ab Arato vocatus ἧκεν διὰ τῆς Εὐβοίας ἐπὶ τὸν Ἰσθμόν Aetolis iter per Thermopylas prohibentibus Polyb. II 52, 7.

219/8. Eadem via profectus est Philippus διαβιβάσας τούτους ἐκ Θετταλίας εἰς Εὔβοιαν κἀκεῖθεν εἰς Κῦνον ἧκε διὰ τῆς Βοιωτίας Polyb. IV 67, 5.

218. Apelles, dux regis Philippi, coniuratione facta Chalcide moratus inde omni commeatu intercluso regem impediebat, ne in Peloponneso bellum gereret. Polyb. V 2, 8.

208. Polyb. X 41, 3: φιλοπονώτατά γε μὴν οἱ τὴν Εὔβοιαν κατοικοῦντες ἠξίουν τινὰ πρόνοιαν τῶν πολεμίων (ἔχειν). — 42, 2 Philippus: ἀπέστειλε .. εἰς δὲ Χαλκίδα καὶ τὴν ἄλλην Εὔβοιαν Μένιππον ἔχοντα πελταστὰς χιλίους, Ἀγριᾶνας πεντακοσίους. 7 ἵνα δὲ μηδὲν αὐτὸν λανθάνῃ τῶν πραττομένων, διεπέμψατο

¹) De his tyrannis nihil traditum est cf. Niese II 227.

πρὸς Πεπαρηθίους καὶ πρὸς τοὺς ἐπὶ τῆς Φωκίδος, ὁμοίως δὲ καὶ πρὸς τοὺς ἐπὶ τῆς Εὐβοίας, καὶ παρήγγειλε διασαφεῖν αὐτῷ πάντα τὰ γινόμενα διὰ τῶν πυρσῶν ἐπὶ τὸ Τ(ε)ίσαιον [1]. τοῦτο δ' ἐστὶ τῆς Θεσσαλίας ὄρος ...: idem apud Liv. XXVIII 5, 11 Menippum item quendam ex regiis ducibus cum mille peltastis Chalcidem mittit; additi quingenti Agrianium, ut omnes insulae partes tueri posset. 16 inde ut ad omnes hostium motus posset occurrere, in Phocidem atque Euboeam et Peparethum mittit, qui loca alta eligerent, unde editi ignes apparerent.

Liv. XXVIII 5, 19 ita inter Attalum ac Sulpicium convenit, ut Romani a mari, regii a terra oppugnarent (sc. Oreum) 6. quadriduo post quam adpulsa classis est urbem adgressi sunt. id tempus occultis cum Platore, qui a Philippo praepositus urbi erat, conloquiis absumptum est. duas arces urbs habet, unam imminentem mari, altera urbis media est; cuniculo inde via ad mare ducit, quam a mari turris quinque tabulatorum, egregium propugnaculum, claudebat. ibi primo atrocissimum contractum est certamen et turre instructa omni genere telorum et tormentis machinisque ad oppugnandam eam ex navibus expositis. cum omnium animos oculosque id certamen avertisset, porta maritumae arcis Plator Romanos accepit, momentoque arx occupata est. oppidani pulsi inde in mediam urbem ad alteram tendere arcem. et ibi positi erant, qui fores portae obicerent. ita exclusi in medio caeduntur capiunturque. Macedonum praesidium conglobatum sub arcis muro stetit nec fuga effuse petita, nec pertinaciter proelio inito. eos Plator venia ab Sulpicio impetrata in naves impositos ad Demetrium Phthiotidis exposuit, ipse ad Attalum se recepit.

207. Liv. XXVIII 6, 8. Sulpicius tam facili ad Oreum successu elatus Chalcidem inde protinus victrici classe petit; ubi haudquaquam ad spem eventus respondit. ex patenti utrimque coactum in angustias mare speciem intuenti primo gemini portus in ora duo versi praebuerit; sed haud facile alia infestior classi statio est. nam et venti ab utriusque terrae praealtis montibus subiti ac procellosi se deiciunt et fretum ipsum Euripi non septiens die, sicut fama fert, temporibus statis reciprocat, sed temere in modum venti nunc huc nunc illuc verso mari velut monte praecipiti devolutus torrens rapitur. ita nec nocte nec die quies navibus datur. cum classem tam infesta statio accepit, tum et oppidum alia parte clausum mari, alia ab terra egregie munitum praesidioque valido firmatum et praecipue fide praefectorum principumque. quae fluxa et vana apud Oreum fuerat, stabile atque inexpugnabile fuit. 7, 2. nam et ipsa Chalcis quamquam eiusdem insulae urbs est, tamen adeo arto interscinditur freto, ut ponte continenti iungatur terraque aditum faciliorem quam mari habeat. 8, 11. (Philippus ex Peloponneso rediens) ab Cenchreis praeter terram Atticam super Sunium navigans inter medias prope hostium classes Chalcidem pervenit - - ab Chalcide Oreum navigat principumque iis, qui fugere capta urbe quam se Romanis tradere maluerant, summa rerum et custodia urbis permissa, ipse Demetriadem ab Euboea - - traiecit.

199. Liv. XXXI 46. Inde agitari de Oreo oppugnando coeptum. valida ea civitas et moenibus, et quia ante fuerat temptata, firmo erat praesidio. ... Oreum diversi Romani et rex Attalus oppugnabant. Romani a marituma arce, regii adversus vallem inter duas iacentem arces, qua et muro intersaepta urbs est. et ut loca diversa, sic dispari modo etiam oppugnabant. Romanus testudinibus et vineis et ariete admovendo muris. regii ballistis catapultisque et alio omni genere tormentorum tela ingerentes. et pondere ingenti saxa iaciebant et cuniculos et quidquid aliud priore oppugnatione expertum profuerat. ceterum non plures tantum Macedones quam ante tuebantur urbem arcesque, sed etiam praesentioribus animis et castigationibus regis in admissa culpa et simul minarum simul promissorum in futurum memores. ... Attalus quoque [ut imperator Romanus qui in Thessaliam traiecerat] Aegeleon, nihil minus quam tale quicquam in alterius oppugnatione urbis timentibus, oppressit. Et iam cum opera in effectu erant circa Oreum, tum praesidium, quod intus erat, labore adsiduo, vigiliis diurnis pariter nocturnisque et vulneribus confectum. muri quoque pars ariete incusso subruta multis iam locis prociderat; perque apertum ruina iter nocte Romani in arcem, quae super portum est, perruperunt. Attalus luce prima signo ex arce dato ab Romanis et ipse urbem invasit, stratis magna ex parte muris; praesidium oppidanique in arcem alteram perfugere, unde biduo post deditio facta. urbs regi, captiva corpora Romanis cessere.

E praeda Oritana Attalum statuas quasdam Pergamum abstulisse testes sunt tituli Pergameni *Inschr. v. Perg.* I 38 = Dittenberger OGIS 284 Βασιλ[εὺ]ς Ἄτταλος ἐκ τῆς [Ὠρεοῦ] | καταλήψεως ἐξαίρετ[α Ἀθηνᾶι]: I 50 = Dittenberger OGIS 288*a* Σιλανίω[ν Ἀθηναῖος ἐποίησεν] | ἐξ ... h. c. ἐξ Ὠ[ρ]εοῦ.

Paus. VII 7, 9: Ὀτίλιος δὲ (hoc nomen Pausaniae errore ortum ex P. Villius Tappulus, qui P. Sulpicio Galbae succedebat cf. Hitzig-Blümner ad h. l.) τὰ μὲν ἄλλα τοῖς πράγμασι κατὰ τὰ ἐπιτεταγμένα ἐχρῆτο, τάδε δὲ οὐ κατὰ γνώμην οἱ τὴν Ῥωμαίων ἐστὶν εἰργασμένα· Εὐβοέων γὰρ Ἑστίαιαν πόλιν καὶ Ἀντίκυραν .. ἑλὼν ὑπηκόους κατ' ἀνάγκην οὔσας Φιλίππου, ἐποίησεν ἀναστάτους — Liv. XXXI 47 iam autumnale aequinoctium instabat: et est Euboicus sinus, quem Coela vocant, suspectus nautis. Itaque ante hiemales motus evadere inde cupientes Piraeum repetunt.

200. Liv. XXXI 23 exsules ab Chalcide, regiorum iniuriis pulsi, attulerunt occupari Chalcidem sine certamine ullo posse: nam et Macedonas, quia nullus in propinquo sit hostium metus, vagari passim, et oppidanos praesidio Macedonum fretos custodiam urbis neglegere ... et tranquillo pervectus (sc. Claudius) Chalcidem paulo ante lucem, qua infrequentissima urbis sunt, paucis militibus turrim proximam murumque circa scalis cepit alibi sopitis custodibus, alibi nullo custodiente. Progressi inde ad frequentia aedificiis loca custodibus interfectis refractaque porta ceteram multitudinem armatorum acceperunt. inde in totam urbem discursum est aucto etiam tumultu, quod circa forum ignis tectis iniectus erat. Conflagrarunt et horrea regia et armamentarium cum ingenti apparatu machinarum tormentorumque. caedes inde passim fugientium pariter ac repugnantium fieri coepta est. nec ullo iam, qui militaris aetatis esset, non aut caeso aut fugato, Sopatro etiam Acarnane praefecto praesidii interfecto praeda omnis primo in forum collata, deinde in naves imposita. Carcer etiam ab Rhodiis refractus, emissique captivi, quos Philippus tamquam in tutissimam custodiam condiderat. *statuis inde regis deiectis truncatisque*, signo receptui dato conscenderunt naves. 24: Philippus, cursu prope Chalcidem contendit ... nec quicquam aliud quam ad deforme spectaculum semirutae ac fumantis sociae urbis cum venisset, paucis vix qui sepelirent bello absumptos relictis, aeque raptim ac venerat, transgressus ponte Euripum per Boeotiam Athenas ducit. — 45: ii (sc. Issaei) missi ad populandos Carystiorum agros, cetera classis Geraestum nobilem Euboeae portum, dum ab Carysto Issaei redirent, tenuit.

198. Paus. VII 8, 1: τότε δὲ ἥκων ὁ Φλαμίνιος Ἐρέτριάν τε διήρπασε τοὺς φρουροῦντας Μακεδόνων μάχῃ νικήσας — Liv. XXXII 16. Hae circa Andrum insulam classes coniunctae [sc. Attali 24 quinqueremes et Rhodiae 20 naves tectae] Euboeam inde exiguo distantem freto traiecerunt. Carystiorum primum agros vastarunt: deinde ubi Carystus praesidio a Chalcide raptim misso firma visa est, ad Eretriam accesserunt. Eodem et L. Quinctius cum iis navibus quae Piraeei fuerant venit. Eretria summa vi oppugnabatur: nam et trium iunctarum classium naves omnis generis tormenta machinasque ad urbium excidia secum portabant, et agri adfatim materiae praebebant ad nova molienda opera. Oppidani primo haud impigre tuebantur moenia; dein fessi vulneratique aliquot, cum et muri partem eversam operibus hostium cernerent, ad deditionem inclinarunt. Sed praesidium erat Macedonum, quos non minus quam Romanos metuebant; et Philocles regius praefectus a Chalcide nuntios mittebat se in tempore adfuturum, si sustinerent obsidionem - - deinde postquam Philoclem repulsum trepidantemque refugisse Chalcidem acceperunt, oratores extemplo ad Attalum miserunt. Dum in spem pacis intenti segnius munera belli obeunt, et ea modo parte, qua murus dirutus erat, ceteris neglectis stationes armatas opponunt, Quinctius noctu ab ea parte, quae minime suspecta erat, impetu facto scalis urbem cepit. Oppidanorum omnis multitudo cum coniugibus ac liberis in arcem confugit, deinde in deditionem venit. Pecuniae aurique et argenti haud sane multum fuit: signa tabulae priscae artis ornamentaque eius generis plura quam pro urbis magnitudine aut opibus ceteris inventa. 17. Carystus inde repetita, unde, priusquam e navibus copiae exponerentur, omnis multitudo urbe deserta in arcem confugit. Inde ad fidem ab Romano petendam oratores mittunt. Oppidanis extemplo vita ac libertas concessa est; Macedonibus treceni nummi in capita statutum pretium est, et ut armis traditis abirent. — Paulo post Eretriam et Oreum a Macedonibus recuperatas esse testari videtur Polyb. XVIII 45 (28) 5 εἶναι δὲ ταύτας (sc. urbes Romanis tradendas) Ὠρεὸν Ἐρέτριαν Χαλκίδα Δημητριάδα Κόρινθον.

196. Polyb. XVIII 44 (27), 3: τοὺς δὲ ταττομένους ὑπὸ Φίλιππον καὶ τὰς πόλεις τὰς ἐμφρούρους παραδοῦναι Φίλιππον Ῥωμαίοις πρὸ τῆς τῶν Ἰσθμίων πανηγύρεως.

196. Liv. XXXIII 34, 10 (aliquanto post ludos Isthmiacos): Oreum et Eretriam decem legati Eumeni regi, Attali filio, dabant. Dissentiente Quinctio ea una res in arbitrium senatus reiecta est: senatus libertatem his civitatibus dedit, Carysto adiecta. Cf.

[1]) Thessalicam formam Πεισαῖον fuisse Argonauticarum Orphicarum v. 460 lectio quamvis spreta Πεισαίη ἄκρη docet, quod addas iis quae Hoffmann Dial. I 498 de πεῖσαι = τεῖσαι collegit. Hiller.

Polyb. XVIII 47 (30), 10 Ὠρεὸν δέ, ἔτι δὲ τὴν Ἐρετριέων πόλιν ἐδόκει μὲν τοῖς πλείοσιν Εὐμένει δοῦναι· Τίτου δὲ πρὸς τὸ συνέδριον διαστείλαντος οὐκ ἐκυρώθη τὸ διαβούλιον, διὸ καὶ μετά τινα χρόνον ἠλευθερώθησαν αἱ πόλεις αὗται διὰ τῆς συγκλήτου καὶ σὺν ταύταις Κάρυστος cf. Niese II 652.

194. Liv. XXXIV 51: [Copiae Romanorum arcem Corinthiorum et Chalcidensium relinquunt, Titus] ipse Chalcidem profectus, deductis non a Chalcide solum sed etiam ab Oreo atque Eretria praesidiis, conventum ibi Euboicarum civitatium habuit, admonitosque in quo statu rerum accepisset eos et in quo relinqueret dimisit. — Demetriadem inde proficiscitur; deductoque praesidio prosequentibus cunctis, sicut Corinthi et Chalcide, pergit ire in Thessaliam. — Plut. Tit. 12 αὐτὸς δὲ ὁ Τίτος εἰς Χαλκίδα παρελθών, εἶτα πλεύσας ἐκεῖθεν ἐπὶ Μαγνησίαν, ἐξῆγε τὰς φρουρὰς καὶ τὰς πολιτείας ἀπεδίδου τοῖς δήμοις.

192. Liv. XXXV 37. Iisdem diebus circa Chalcidem Thoas per Euthymidam principem, pulsum opibus eorum qui Romanae societatis erant post T. Quinctii legatorumque adventum, et Herodorum Cianum mercatorem, sed potentem Chalcide propter divitias, praeparatis ad proditionem iis qui Euthymidae factionis erant, nequaquam eandem fortunam, qua Demetrias per Eurylochum occupata erat, habuit. Euthymidas ab Athenis — eum domicilio delegerat locum — Thebas primum, hinc Salganea processit, Herodorus ad Thronium. Inde haud procul in Maliaco sinu duo milia peditum Thoas et ducentos equites, onerarias leves ad triginta habebat. Eas cum sexcentis peditibus Herodorus traicere in insulam Atalanten iussus, ut inde, cum pedestris copias appropinquare iam Aulidi atque Euripo sensisset, Chalcidem traiceret. Ipse ceteras copias nocturnis maxime itineribus, quanta poterat celeritate, Chalcidem ducebat. 38. Micythio et Xenoclides, penes quos tum summa rerum pulso Euthymida Chalcide erat, seu ipsi per se suspicati seu indicata re primo pavidi nihil usquam spei nisi in fuga ponebant, deinde ... consilio tali animum adiecerunt. Sacrum anniversarium eo forte tempore Eretriae Amarynthidis Dianae erat; quod non popularium modo sed Carystiorum etiam coetu celebratur. Eo miserunt qui orarent Eretrienses Carystiosque, ut et suarum fortunarum in eadem insula geniti misererentur et Romanam societatem respicerent. Ne sinerent Aetolorum Chalcidem fieri: Euboeam habituros, si Chalcidem habuissent. .. Romanorum maxime respectus civitates movit ... itaque quod roboris in iuventute erat utraque civitas armavit misitque. His tuenda moenia Chalcidis oppidani cum tradidissent, ipsi omnibus copiis transgressi Euripum ad Salganea posuerunt castra ... (Aetolis tum infecta re profectis) Euthymidas ... et ipse a Thebis Athenas rediit et Herodorus - - - Thronium unde venerat repetit. 39. Quinctius quoque his auditis ab Corintho veniens navibus in Chalcidis Euripo Eumeni regi occurrit. Placuit quingentos milites praesidii causa relinqui Chalcide ab Eumene rege, ipsum Athenas ire. — 46. ... optimum visum est Chalcidem, frustra ab Aetolis nuper temptatam, primum adgredi: ... rex (Antiochus) ad Salganea castris positis, navibus ipse cum principibus Aetolorum Euripum traiecit; et cum haud procul portu egressus esset, magistratus quoque Chalcidensium et principes ante portam processerunt. Pauci utrimque ad colloquium congressi sunt. Aetoli magnopere suadere, ut salva Romanorum amicitia regem quoque adsumerent socium atque amicum ... ad haec Micythio, unus ex principibus, mirari se dixit ad quos liberandos Antiochus relicto regno suo in Europam traiecisset. Nullam enim civitatem se in Graecia nosse, quae aut praesidium habeat aut stipendium Romanis pendat ... itaque Chalcidenses neque vindice libertatis ullo egere, cum liberi sint, neque praesidio, cum pacem eiusdem populi Romani beneficio et libertatem habeant. Amicitiam regis non aspernari neque ipsorum Aetolorum. Id primum eos pro amicis facturos, si insula excedant atque abeant. Nam ipsis certum esse non modo non recipere moenibus, sed ne societatem quidem ullam pacisci nisi ex auctoritate Romanorum. 47. Haec renuntiata regi ad naves - - reverti Demetriadem placuit.

192. Liv. XXXV 50. Antiochus cum ad Chalcidis praesidium et Achaeos et Eumenem regem misisse audisset, maturandum ratus ... Menippum ... et Polyxenidan mittit, ipse ... Aetolos ducit. Achaei quingenti ab Eumene rege modicum auxilium missum duce Xenoclide Chalcidensi nondum obsessis itineribus tuto transgressi Euripum Chalcidem pervenerunt. Romani milites, quingenti ferme et ipsi, cum iam Menippus castra ante Salganea ad Hermaeum. qua transitus ex Boeotia in Euboeam insulam est, haberet, venerunt. Micythio erat cum iis, legatus ab Chalcide ad Quinctium ad id ipsum praesidium petendum missus. qui postquam obsessas ab hostibus fauces vidit, omisso ad Aulidem itinere Delium convertit, ut inde in Euboeam transmissurus. 51. (Ad templum Apollinis Delii ...) repente Menippus palatos passim adgressus eos cecidit, ad quinquaginta vivos cepit. Perpauci effugerunt, in quibus Micythio parva oneraria nave exceptus. ... Antiochus admoto ad Aulidem exercitu, cum rursus oratores ... Chalcidem misisset, qui eadem illa quae nuper cum minis gravioribus agerent, nequiquam contra Micythione et Xenoclide tendentibus facile tenuit, ut portae sibi aperirentur. Qui Romanae partis erant, sub adventum regis urbe excesserunt. Achaeorum et Eumenis milites Salganea tenebant, et in Euripo castellum Romani milites pauci custodiae causa loci communiebant. Salganea Menippus, rex ipse castellum Euripi oppugnare est adortus. Priores Achaei et Eumenis milites pacti, ut sine fraude liceret abire, praesidio excesserunt: pertinacius Romani Euripum tuebantur. ... cum id quod caput erat Euboeae teneret rex, ne ceterae quidem eius insulae urbes imperium abnuerunt; magnoque principio sibi orsus bellum videbantur, quod tanta insula et tot opportunae urbes in suam dicionem venissent[1]). — De Micythione Micylionis f., proxeno Delphorum nominato a. 179/8 a. Chr. (Dittenb. Syll.² 268, 230) cf. Wilhelm, Ἐφ. ἀρχ. 1892, 171. 1904, 99. Idem tit. 904, 1 rogat honores Charidemi, Demetrii f., gymnasiarchi, patris fortasse alterius Micythionis Charidemi f., qui a. fere 169 orator est decreti 900 B atque iure Wilhelmo videtur eiusdem familiae esse.

192/1. Polyb. apud Athen. X 439e: Ἀντίοχος - - παρελθὼν εἰς Χαλκίδα τῆς Εὐβοίας συνετέλει γάμους, πεντήκοντα μὲν ἔτη γεγονὼς - - ἐρασθεὶς οὖν παρθένου Χαλκιδικῆς κατὰ τὸν τοῦ πολέμου καιρὸν ἐφιλοτιμήσατο γῆμαι αὐτήν, οἰνοπότης ὢν καὶ μέθαις χαίρων· ἦν δ' αὕτη Κλεοπτολέμου μὲν θυγάτηρ ἑνὸς τῶν ἐπιφανῶν, κάλλει δὲ πάσας ὑπερβάλλουσα· καὶ τοὺς γάμους συντελῶν ἐν τῇ Χαλκίδι αὐτόθι διέτριψε τὸν χειμῶνα, τῶν ἐνεστώτων οὐδ' ἡντινοῦν ποιούμενος πρόνοιαν. ἔθετο δὲ καὶ τῇ παιδὶ ὄνομα Εὔβοιαν. ἡττηθεὶς οὖν τῷ πολέμῳ ἔφυγεν εἰς Ἔφεσον μετὰ τῆς νεογάμου.

191. App. Syr. 20. Ἀπὸ δ' Ἐλατείας ἐς Χαλκίδα καὶ ἐς Ἔφεσον μετ' Εὐβοίας τῆς νεογάμου (τοῦτο γὰρ αὐτὴν ὠνόμαζεν) ἐπὶ τῶν νεῶν ἔφυγεν. — Liv. XXXVI 20. Eo gravis vulneribus Alexander Acarnan ... cum perfugisset [sc. ad Thronium in sinu Maliaco], trepidae inde recenti terrore naves Cenaeum Euboeae petierunt, ibi mortuus sepultusque Alexander. — 21. Antiochus sub adventum consulis a Chalcide profectus Tenum primo tenuit, inde Ephesum transmisit. consuli Chalcidem venienti portae patuerunt, cum appropinquante eo Aristoteles praefectus regis urbe excessisset. et ceterae urbes in Euboea sine certamine traditae. — Appian Syr. 21. ... Μάνιος δὲ Φωκέας μὲν καὶ Χαλκιδέας, καὶ ὅσοι ἄλλοι τῷ Ἀντιόχῳ συνεπεπράχεσαν, δεομένους ἀπέλυσε τοῦ δέους. — De honoribus Tito a Chalcidensibus tributis cf. Plut. Tit. 16 πλεῖστον δὲ ἀγῶνα καὶ πόνον αὐτῷ παρεῖχον αἱ περὶ Χαλκιδέων δεήσεις πρὸς τὸν Μάνιον, ἐν ὀργῇ γεγονότων διὰ τὸν γάμον, ὃν παρ' αὐτῶν ἔγημεν Ἀντίοχος ἤδη τοῦ πολέμου συνεστῶτος ... ἐρασθεὶς ἀνὴρ πρεσβύτερος κόρης, ἣ θυγάτηρ μὲν ἦν Κλεοπτολέμου, καλλίστη δὲ λέγεται παρθένων γενέσθαι. Τοῦτο τοὺς Χαλκιδεῖς ἐποίησε βασιλίσαι προθυμότατα καὶ τὴν πόλιν αὐτῷ πρὸς τὸν πόλεμον ὁρμητήριον παρασχεῖν. Ἐκεῖνος μὲν οὖν ὡς τάχιστα μετὰ τὴν μάχην φεύγων προσέμιξε τῇ Χαλκίδι, τήν τε κόρην ἀναλαβὼν καὶ τὰ χρήματα καὶ τοὺς φίλους εἰς Ἀσίαν ἀπέπλευσε· τὸν δὲ Μάνιον εὐθὺς ἐπὶ τοὺς Χαλκιδεῖς σὺν ὀργῇ πορευόμενον ὁ Τίτος παρακολουθῶν ἐμάλαττε καὶ παρῃτεῖτο καὶ τέλος ἔπεισε καὶ κατεπράϋνεν - - οὕτω διασωθέντες οἱ Χαλκιδεῖς τὰ κάλλιστα καὶ μέγιστα τῶν παρ' αὐτοῖς ἀναθημάτων τῷ Τίτῳ καθιέρωσαν, ὧν ἐπιγραφὰς ἔστι τοιαύτας ἄχρι νῦν ὁρᾶν. »Ὁ δῆμος Τίτῳ καὶ Ἡρακλεῖ τὸ γυμνάσιον.« Ἑτέρωθι δὲ πάλιν. »Ὁ δῆμος Τίτῳ καὶ Ἀπόλλωνι τὸ Δελφίνιον«. Ἔτι δὲ καὶ καθ' ἡμᾶς ἱερεὺς χειροτονητὸς ἀπεδείκνυτο Τίτου, καὶ θύσαντες αὐτῷ τῶν σπονδῶν γενομένων ᾄδουσι παιᾶνα πεποιημένον, οὗ τἆλλα διὰ μῆκος ἡμεῖς παρέντες ἀνεγράψαμεν ἃ παυόμενοι τῆς ᾠδῆς λέγουσι· »πίστιν δὲ Ῥωμαίων σέβομεν τὰν μεγαλευκτοτάταν ὅρκοις φυλάσσειν· μέλπετε κοῦραι, Ζῆνα μέγαν Ῥώμαν τε Τίτον θ' ἅμα Ῥωμαίων τε πίστιν· ἰήιε Παιάν, ὦ Τίτε σῶτερ.« Cf. tit. 931 e gymnasio Titi, v. 5 Τίτωι Σωτῆρι καὶ εὐεργέτηι et 952 III 10 ubi Π. Κοΐγκτιος Τίτου Ῥωμαῖος, qui vicit ἄνδρας ὁπλίτην, fortasse est filius consulis (cf. Niese II 707). — Statua Titi in Amarysio Eretriensi posita cf. tit. 233, 3. — Ῥωμαῖα Chalcide primum commemorata tit. 899 b, 12, praeterea tit. Megarico IG VII 48 Ῥωμαῖα ἐν Χαλκίδι πυγμήν (ante Sullam), Halicarnassio Dittenberger Syll.² 676, 11 Ῥωμαῖα τὰ ἐν Χαλκίδι ἄνδρας ἵππιον (extremis rei publicae Romanae liberae temporibus), num iam tum instituta sint (cf. Matsas Ἀθηνᾶ XI 269) an posterioribus temporibus incertum est.

188. Inter pacis conditiones Antiochi regi impositas: Ἀποδότω Ἀντίοχος, ἐὰν ᾖ δυνατὸν αὐτῷ ... Εὐβουλίδαν καὶ Φίλωνα Χαλκιδεῖς Polyb. XXI 45, 11 = Liv. XXXVIII 38.

[1]) Cf. App. Syr. 12: ... διέπλει μετὰ μυρίων ὧν τότε εἶχε μόνων ἐς Εὔβοιαν. καὶ τήνδε μὲν αὐτὸς παρεστήσατο ἅπασαν, ἐνδοῦσαν ὑπὸ ἐκπλήξεως· Μικυθίων δέ, αὐτοῦ στρατηγός, τοῖς περὶ Δήλιον Ῥωμαίοις ἐπιπεσὼν ... τοὺς μὲν αὐτῶν ἔκτεινε τοὺς δ' ἐζώγρησεν.

Post a. 194. Arbitrium iudicum Eretriensium de Pariis et Naxiis IG XII 5, 128 cf. p. 308; XI 4, 1065 b.

[- - - - - - - καθάπερ τοῖς Ἐρετριέων δικαστ]αῖς ἔ[δο]-
[ξεν καὶ τοῖς ἐπηκόοις τοῖς παρὰ Παρίων καὶ π]αρὰ Ναξίων ἀφε-
[σταλμένοις, περὶ ὧν πρὸς τοὺς Ναξίους ἀ]δικασμένοι εἰσὶν οἱ
[Πάριοι· μηδεμίαν εἶναι μηκέτι δίκην τ]οῖς ἰδιώταις ἐκ τῶν
[πρότερον γεγενημένων ἐγκλημάτω]ν ἢ ἀδικημάτων ταῖς πόλε-
[σιν· μηδεμίαν δὲ εἶναι μη]κέτι δίκην κατὰ τῆς πόλεως τῆς
[Ναξίων ὑπὸ τῆς πόλεως τῆ]ς Παρίων, μηδ' ὑπὸ τῆς Ναξίων
[πόλεως κατὰ τῆς Παρίω]ν· μηδὲ ὀφείλημα μηδ' ἔγκλημα
[μηδ' ἀδίκημα εἶναι μ]ηθὲν μηδ' ἰδιώτει μηθενὶ κατὰ
[τῶν πόλεων, μηδὲ κατ' ἰδι]ώτου ἔγκλημα μηθὲν ἐκ τῶν πρό-
[τερον γεγενημένων αὐτῶ]ι πρὸς αὐτὰς ἐγκλημάτων ἢ ἀ[δι]-
[κημάτων· ἔτι δὲ ἐκέλε]υσεν τὸ Ἐρετριέων δικαστήρι[ον]
[θῦσαι βοῦν τὴν πόλιν τ]ὴν Παρίων τοῦ ἐπιτιμίου τοῦ ἐ[πι]-
[γεγραμμένου ἐν τῆιδε τῆι] γραφῆι, τὴν δὲ θυσίαν τῶι Δι[ο]-
[νύσωι τῶι Ναξίωι ἄγειν Παρ]ίους, τὸ δὲ γέρας τοῦ βοὸς εἶ[ναι]
[- - - - - - - - -] ὁποτέρα δ' ἂν τῶν πόλεων ἢ ἰδ[ιώ]-
[της ἐναντίον τι ποιῆι τῆ]ιδε τῆι συλλύσει, ἀποτεισάτω τί-
[μημα τῶι θεῶι τῶι Δηλίωι· ἐὰν] μὲν πόλις παραβῆι, τάλαντα εἴκοσι
[ἀποτινέσθω δίκη, ἐὰν δὲ] ἰδιώτης, τάλαντα πέντε δίκη· ἵν[α]
[- - - - - - - τὴν σύ]λλυσιν γεγενημένην ἐκ τῶν ἐπα-
[- - - - - - - - - ἀπὸ πέ]μπτης ἀπιόντος τοῦ Ἱππιῶνος μ[η]-
[νὸς ἐπὶ τῶν ἀρχόντων] τῶμ μετὰ Ἀρχεβίου ὡς Ἐρετριεῖς
[ἄγουσιν, ὡς δὲ Νάξιοι ἐπὶ ἱερ]έως τοῦ Διονύσου Φιλοκρίτου τοῦ
[δεῖνος τῆς - - - μη]νός, ὡς δὲ Πάριοι ἐπ' ἄρχοντος Θου-
[- - - τῆς - - - μηνὸ]ς Πλυντηριῶνος· τοὺς δὲ προ-
[βούλους καὶ τοὺς στρατη]γοὺς τοὺς Ἐρετριέων εἴς τε τὰ δ[η]-
[μόσια γράμματα παρ' ἑαυτ]οῖς ἀναγράψαι τήνδε τὴν σύλλυσ[ιν]
[καὶ ταῖς πόλεσιν αὐτὴν ἀπο]στεῖλ[α]ι σφραγισαμένους τῆι δ[η]-
[μοσίαι σφραγῖδι· κομίσασθ]αι δὲ καὶ τοὺς ἐπηκόους ἑκατέ-
[ρας τῆς πόλεως τήνδε τὴ]ν σύλλυσιν.

